H. Eccl. 3148. 4°

# DIEM NATALEM

AUGUSTISSIMI ET POTENTISSIMI

IMPERATORIS AC REGIS

# GUILELMI II

AB

ACADEMIA MARBURGENSI

DIE XXVII M. IANUARII ANNI MDCCCLXC

ORATIONE IN EXEDRA PRISTINI HIPPODROMI HABENDA

**CELEBRANDUM**

INDICIT

THEODORUS BIRT

PHIL. DR. PHILOLOGIAE ET ELOQUENTIAE P. P. O.
SEMINARII PHILOLOGI DIRECTOR.

---

Inest Iosephi epitomae adhuc ineditae pars tertia a BENEDICTO NIESE
historiae antiquae et philologiae P. P. O. prolata.

---

MARPURGI.
TYPIS ACADEMICIS ROBERTI FRIEDRICH.

AD
BIBL. UNIV.
MONAC.

Universitäts
München
Bibliothek

# Praefatio.

Pergimus id quod incepimus Iosephi antiquitatum epitomam edere, ut augustissimo imperatori et regi nostro, cuius natalis dies adest, specimine aliquo doctrinae sollemnem honorem debitamque reverentiam exhibeamus. ac prodit nunc huius epitomae pars tertia usque ad librum octavum medium perducta; nam quod proximo anno promisimus fore ut liber octavus totus, nonus deinceps et decimus una edi possint, id cum aliis causis tum per temporis angustias fieri non licuit.

Et in his quoque libris edendis codice Busbeckiano ita sumus usi, ut interdum etiam codicis Schleusingensis rationem haberemus; qui etsi non magni faciendus est (nam cum ex Vaticano gr. no. 984 exscriptus sit quae bona habet ex eo petiit) tamen ad Busbeckiani vitia agnoscenda et ad errores meos corrigendos usus eius fuit haud exiguus. quare iterum iterumque laudanda est benevolentia Schmiederi, gymnasiarchi Schleusingensis, qua factum est, ut etiam nunc Schleusingensis liber nobis praesto fuerit. denique non parvi pendenda est opera Godofredi Zedler, iuvenis humanissimi, qui in excutiendo codice illo et in abstergendis typothetarum erroribus erudita et diligenti manu me adiuvit.

Dabam Marburgi Chattorum a. d. X. Kal. Februarias 1890.

**Benedictus Niese.**

Zonaras I p. 99 Bonn.

τὴν κιβωτὸν καὶ τὸ ἄγγος, ὃ τοὺς ἀνδριάντας εἶχε καὶ τοὺς μύας, θύουσι λαμπρῶς τῷ θεῷ
καὶ κατευωχηθέντες τήν τε ἅμαξαν καὶ τοὺς βόας ὡλοκαύτωσαν· οἱ Παλαιστηνοὶ δὲ
ἀνέστρεψαν. τοὺς δὲ προσελθόντας τῇ κιβωτῷ ἐκ τῆς Βηθύμης κώμης καὶ ἁψαμένους 16
αὐτῆς ὀργισθεὶς ὁ θεός, ἱερεῖς γὰρ οὐκ ἦσαν, βαλὼν ἀπέκτεινεν. οἱ δὲ λοιποὶ πρὸς τὸ 17
κοινὸν τῶν Ἑβραίων πέμψαντες ἐδήλουν τὰ περὶ τῆς κιβωτοῦ. κἀκεῖνοι ἀποκομίζουσιν
αὐτὴν εἰς Καριαθιαρείμ, ἔνθα εἰς οἰκίαν Λευίτου τινὸς Ἀμιναδάμου ταύτην ἤγαγον. ἐθεράπευον 18
δὲ τὴν κιβωτὸν οἱ τούτου παῖδες ἕως ἐτῶν εἴκοσι· τοσαῦτα γὰρ ἔμεινεν ἐκεῖ ποιήσασα ἐν
τοῖς Παλαιστηνοῖς μῆνας τέσσαρας. ὁ δὲ προφήτης Σαμούηλος ὁρῶν τὸν λαὸν ἐπ' εὐχὰς 19
καί θυσίας τραπέντα καὶ τῆς τοῦ θεοῦ θεραπείας ἐπιμελούμενον εὔκαιρον ἔκρινε περὶ
ἐλευθερίας πρὸς αὐτὸν χρήσασθαι λόγοις καὶ διαλεχθεὶς αὐτοῖς καὶ πειθομένους σχὼν
συνάγει αὐτοὺς εἰς πόλιν λεγομένην Μασφαθήν· κατοπτευομένην τοῦτο σημαίνει· καὶ 22
ὑδρευσάμενοι σπένδουσι τῷ θεῷ καὶ νηστεύσαντες ἐπ' εὐχὰς τρέπονται. ταῦτα δ' οὐκ 23.
ἔλαθον τοὺς Παλαιστηνούς, ἀλλὰ μεγάλῃ στρατιᾷ μὴ προσδοκῶσι τοῖς Ἑβραίοις ἐπέρχονται.
οἱ δὲ καταπλαγέντες πρὸς τὸν Σαμούηλον τρέχουσιν ἀπαγγέλοντες τὴν ἀθρόαν τῶν πολε- 24
μίων ἔφοδον καὶ ὡς γυμνοῖς καὶ ἀνόπλοις οὖσιν οὐκ ἄλλη σωτηρίας ἐλπὶς ἡμῖν, ἔφασαν, ἢ ἡ 25
παρὰ σοῦ μόνη καὶ τοῦ θεοῦ. ὁ δὲ θαρρεῖν τε προτρέπεται καὶ βοηθήσειν αὐτοῖς τὸν θεὸν
ἐπαγγέλεται καὶ θύσας ἄρνα γαλαθηνὸν ὑπὲρ τῶν ὅλων παρακαλεῖ τὸν θεόν. ὁ δὲ ἐπινεύει
νίκην Ἑβραίοις καὶ κράτος. ἔτι δὲ τοῦ βωμοῦ τὴν θυσίαν ἔχοντος καὶ μήπω πᾶσαν τῆς 26
ἱερᾶς δαπανησάσης φλογὸς παρατάσσονται εἰς μάχην οἱ πολέμιοι ἐπ' ἐλπίδι νίκης, ὡς ἀόπλων
ὄντων Ἑβραίων. ὁ δὲ θεὸς σεισμῷ κλονήσας τὴν γῆν βροντὰς ἐπαγαγὼν καὶ ἀστραπὰς καὶ 27
τῶν χειρῶν αὐτῶν ἐκκροτήσας τὰ ὅπλα, φόβῳ γυμνοὺς εἰς φυγὴν ἀπέστρεψεν. ἐπεξέρχεται 28
δὲ μετὰ τοῦ πλήθους Σαμούηλος καὶ πολλοὺς κατέσφαξεν. οἱ δὲ μετὰ τὴν πληγὴν ταύτην 29
οὐκ ἐστράτευσαν ἐπὶ τοὺς Ἰσραηλίτας, ἀλλ' ὑπὸ δέους ἡσύχαζον· Σαμούηλος δὲ στρατεύσας 30
ἐπ' αὐτοὺς ἀναιρεῖ πολλοὺς καὶ τὴν χώραν ἀφαιρεῖται, ἣν τῶν Ἰουδαίων ἀπέτεμον πρότε-
ρον. διακοσμήσας δὲ τὸν λαὸν καὶ πόλιν αὐτοῖς ἀποδοὺς εἰς ταύτην ἐκέλευσε συνερχο- 31
μένους περὶ τῶν πρὸς ἀλλήλους κρίνεσθαι διαφορῶν, αὐτὸς δὲ δὶς τοῦ ἔτους ἐπερχόμενος
τὰς πόλεις ἐδίκαζεν αὐτούς. ἔπειθ' ὑπὸ γήρως βαρυνόμενος τοῖς υἱοῖς τὴν προστασίαν 32
τοῦ πλήθους παραδίδωσιν, ὧν ὁ μὲν πρότερος Ἰώηλος ἐκαλεῖτο, ὁ δὲ νεώτερος Ἀβίας, μερίσας
τὸν ὑπακουσόμενον ἑκατέρῳ λαόν. οἱ δὲ τῶν τοῦ πατρὸς ἐπιτηδευμάτων ἐκτρεπόμενοι 34
δώρων καὶ λημμάτων αἰσχρῶν τὸ δίκαιον καθυφίεντο καὶ τὰς κρίσεις πρὸς κέρδος ποιού-
μενοι καὶ πρὸς τρυφὴν ἀπονενευκότες καὶ πολυτέλειαν ἐναντία τῷ θεῷ καὶ τῷ προφήτῃ
καὶ πατρὶ ἔπραττον. ὁ δὲ λαὸς οὕτω διακειμένων τῶν τοῦ προφήτου παίδων πρὸς αὐτὸν 35
ὄντα ἐν Ἀρμαθᾷ συνέτρεχε, καὶ τὰς τῶν υἱῶν παρανομίας ἔλεγε καὶ ὅτι γηραιὸς ὢν αὐτὸς
τῶν πραγμάτων προεστάναι οὐ δύναται· ἐδέοντό τε βασιλέα αὐτοῖς ἀποδεῖξαι, ὃς ἄρξει
τοῦ ἔθνους καὶ τιμωρήσεται τοὺς Παλαιστηνούς. ἐλύπησαν δὲ τὸν Σαμούηλον οἱ λόγοι· 36
ἥττητο γὰρ τῆς ἀριστοκρατίας· καὶ ἀπόσιτος ὢν δι' ὅλης νυκτὸς ἔστρεφε τὰς περὶ τῶν 37
πραγμάτων ἐννοίας. ἐμφανίζεται δὲ τὸ θεῖον αὐτῷ καὶ μὴ δυσφορεῖν ἀξιοῖ· οὐ γὰρ εἰς 38
Σαμούηλον ὑπερηφανῆσαι τὸ πλῆθος ἀλλ' εἰς αὐτόν. κελεύω δέ σοι, φησί, χειροτονεῖν 39

1 μυίας Busb. — 10 αὐτοὺς Busb. — 14 ἀπαγγέλλοντες ex correctura Busb. — 17 ἐπαγγέλλεται Henn. et ex corr. Busb. — 17 ὅλων] ὄχλων Iosephus. — 26 δὶς] διὰ Busb. — 28 ἐκαλεῖτο] προσηγορεύετο Iosephus. — 30 καθυφιέντι man. 1 Busb.

Zonaras I p. 101 Bonn.

40 αὐτοῖς ὃν ἂν ἐγώ σοι προείπω βασιλέα. ὁ δὲ προφήτης ἅμα ἕῳ συγκαλέσας τοὺς Ἰουδαίους
ἀποδείξειν αὐτοῖς ὡμολόγησε βασιλέα, προεμαρτύρατο δὲ καὶ ὅσα τούτοις παρὰ τῶν βασι-
42 λέων συνενεχθήσονται κακά, καὶ ὡς δουλεύσουσι μετὰ πάντων τῶν αὐτοῖς προσόντων
τῷ βασιλεῖ καὶ μεταγνόντες ἱκετεύσουσι τὸν θεὸν δοῦναι τῶν βασιλέων ἀπαλλαγήν, τὸν
43 δὲ οὐ προσδέξασθαι. τοῖς δ᾽ οὐκ ἐμέλησεν τῶν Σαμουήλου λόγων, ἀλλ᾽ ἐνέκειντο καὶ
44 χειροτονεῖν ἠξίουν τὸν βασιλέα μηδὲ φροντίζειν τῶν ἐσομένων. ὁ δὲ „νῦν μὲν ἄπιτε, εἶπεν,
45 μεταπέμψομαι δὲ ὑμᾶς, ὅταν μάθω παρὰ τοῦ θεοῦ τίνα δίδωσιν ὑμῖν βασιλέα“. ἦν δέ
τις Βενιαμίτης ἀνὴρ εὖ γεγονὼς Κὶς ὄνομα· τούτῳ παῖς ἦν νεανίας τὸ εἶδος ἄριστος τὸ
46 σῶμα μέγας, Σάουλος ἐκαλεῖτο. ὄνων δὲ τῷ Κὶς ἀποπλανηθεισῶν τὸν υἱὸν μεθ᾽ ἑνὸς
θεράποντος ἐπὶ ζήτησιν αὐτῶν ἔπεμψεν· ὁ δὲ περιελθὼν καὶ ζητήσας ἐπεὶ μὴ εὕρισκεν
47 ἀπιέναι ἐγνώκει, ὡς δ᾽ ἐγένετο κατὰ τὴν Ἀρμαθὰ ὁ θεράπων προφήτην εἶναι κατ᾽ αὐτὴν
48 ἔλεγεν καὶ συνεβούλευε παρ᾽ αὐτὸν βαδίζειν καὶ περὶ τῶν ὄνων πυνθάνεσθαι· ἀπῆλθον οὖν
50 καὶ εὗρον αὐτὸν ἐπὶ τὸ δεῖπνον πορευόμενον· εἱστία γὰρ τότε πολλούς. σημαίνει δὲ Σαμουήλῳ
ὁ θεὸς τοῦτον εἶναι τὸν ἄρξειν μέλλοντα. Σαούλου δὲ ἐρομένου, ποῖος ἐστὶν ὁ προφήτης, ἐκεῖνος
51 ἑαυτὸν εἶναι φράσας ἐπὶ τὸ δεῖπνον ἦγεν αὐτὸν ὡς τῶν ὄνων ὧν ποιεῖται τὴν ζήτησιν
52 σεσωσμένων. καὶ ἀγαγὼν ἐπὶ τὴν ἑστίασιν κατακλίνει καὶ τὸν ἀκόλουθον ἐπάνω τῶν κεκλη-
μένων ἑβδομήκοντα ὄντων· ἐπεὶ δὲ κοίτης ὥρα προσῆγεν, οἱ μὲν ἄλλοι ἀπῄεσαν, ὁ δὲ
53 Σάουλος παρὰ τῷ προφήτῃ κατεκοιμήθη. ἅμα δὲ ἡμέρᾳ Σαμούηλος ἀναστήσας αὐτὸν ἐκ
τῆς κοίτης προέπεμψε καὶ γενόμενος ἔξω τῆς πόλεως μόνον ἀπολαβὼν τὸν Σάουλον, ὥς τι
54 φράσων αὐτῷ, λαβὼν τὸ ἀγγεῖον ἔλαιον καταχέει τῆς τοῦ νεανίσκου κεφαλῆς καὶ ἀσπασά-
μενος „ἴσθι, φησί, βασιλεὺς ὑπὸ θεοῦ κεχειροτονημένος. τούτων δ᾽ ἔσται σοι σημεῖον,
55 ὅταν ἀπέλθῃς ἐντεῦθεν καταλήψῃ τρεῖς ἀνθρώπους ἐν τῇ ὁδῷ προσκυνῆσαι τῷ θεῷ
πορευομένους εἰς Βέθηλα, ὧν ὁ μὲν πρῶτος τρεῖς ἄρτους κομίσει, ὁ δὲ δεύτερος ἔριφον, ὁ
56 δὲ τρίτος ἀσκὸν οἴνου· καὶ ἀσπάσονταί σε καὶ δώσουσιν ἄρτους δύο. εἶτα πρὸς τὸ Ῥαχήλας
μνημεῖον γενόμενος συμβαλεῖς τῷ σεσῶσθαι τὰς ὄνους εὐαγγελιουμένῳ· ἐλθὼν δ᾽ εἰς
Γαβαθὰ προφήταις ἐκκλησιάζουσιν ἐπιτεύξῃ καὶ γενόμενος ἔνθεος προφητεύσεις σὺν αὐτοῖς.
57 ὅταν δέ σοι ταῦτα τὰ σημεῖα γένηται, τὸν θεὸν ἴσθι μετὰ σοῦ τυγχάνοντα. ἥξεις δὲ
μετάπεμπτος εἰς Γάλγαλα ἐξ ἐμοῦ, ἵνα χαριστήριον θύσωμεν τῷ θεῷ“. τῷ Σαούλῳ δὲ
60 πάντα κατὰ τὴν τοῦ προφήτου ἀπήντησε πρόρρησιν. Σαμούηλος δ᾽ ἐκάλει τὸν λαὸν εἰς
61 Μεμφὰ πόλιν καί „ἐπεὶ δέδοκται ὑμῖν, φησί, βασιλέα ἕξειν, τάχθητε κατὰ φυλὰς καὶ
62 σκῆπτρα πάντες καὶ κλήρους βάλετε“. οὗ γενομένου ὁ τῆς Βενιαμίτιδος κλῆρος ἐξέπεσε,
ταύτης δὲ κληρωθείσης ἔλαχεν ἡ Ματρὶς λεγομένη πατριά, ἧς κατ᾽ ἄνδρα κληρωθείσης
63 λαγχάνει ὁ Κισσαίου βασιλεύειν. ὁ δὲ ἐκποδὼν ἑαυτὸν ποιεῖ. ἐπεὶ δὲ ζητούμενος οὐχ εὑρίσκετο,
65 παρὰ θεοῦ μαθὼν ὁ Σαμούηλος ἔνθα κρύπτεται πέμπει τοὺς ἄξοντας αὐτὸν καὶ παραγενόμενον
66 ἵστη μέσον. ἐξεῖχε δ᾽ ἁπάντων καὶ τὸ ὕψος ἦν βασιλικώτατος. λέγει δὲ ὁ προφήτης· „τοῦτον
ὑμῖν ὁ θεὸς ἔδωκε βασιλέα· ὁρᾶτε δ᾽ ὡς κρείττων ἐστὶ πάντων καὶ τῆς ἀρχῆς ἄξιος“. ὡς δ᾽
ἐπευφήμησε τὸ πλῆθος, τὰ μέλλοντα συμβήσεσθαι καταγράψας αὐτοῖς ὁ προφήτης ἀνέγνω
67 καὶ τὸ βιβλίον τίθησιν ἐν τῇ τοῦ θεοῦ σκηνῇ. Σαούλῳ δὲ ἀπερχομένῳ εἰς Γαβαθήν, ἐξ

6 ἠξίου m. 1 Busb. — 8 τὸ εἶδος] τὴν μορφὴν Iosephus. — 10 εὕρηκεν Henn. — 11 προφήτης Busb. — 12 αὐτὸν] αὐτῶν man. 1 αὐτῷ man. 2 Busb. — 23 πορευόμενος Busb. — 25 εὐαγγελιουμένω, ου ex ζο corr. Busb. — 32 λεγομένη] καλουμένη Iosephus. — 33 εὑρίσκεται Henn.



Zonaras I p. 102 Bonn.

ἧς ὑπῆρχε, πολλοὶ μὲν συνήρχοντο τὴν προσήκουσαν βασιλεῖ τιμὴν νέμοντες, πλείους δὲ
κατεφρόνουν καὶ ἐχλεύαζον.

Μηνὶ δ᾽ ὕστερον ἀρχὴ τῆς παρὰ πάντων τιμῆς αὐτῷ γίνεται ὁ πρὸς Νaασσὴν 68
πόλεμος τῶν Ἀμμανιτῶν βασιλέα· οὗτος γὰρ τοὺς πέραν τοῦ Ἰορδάνου κατῳκημένους 69
Ἰουδαίους ἰσχύι κεχειρωμένος πρὸς τὸ παρὸν ἐσοφίζετο μηδ᾽ αὖθις ἀποστῆναι δύνασθαι·
τῶν γὰρ ἢ λαμβανομένων ἢ προσχωρούντων αὐτῷ] τοὺς δεξιοὺς ἐξέκοπτεν ὀφθαλμούς, 70
ἵνα τῆς ἀριστερᾶς αὐτοῖς ὄψεως ὑπὸ τῶν θυρεῶν καλυπτομένης ἄχρηστοι εἶεν. 71
ταῦτα δὲ τοὺς πέραν τοῦ Ἰορδάνου ἐργασάμενος ἐπὶ τοὺς Γαλααδηνοὺς ἐπεστράτευσε
καὶ πέμψας ἐπ᾽ αὐτοῖς ἐποιεῖτο τὴν αἵρεσιν, ἢ παραδοῦναι σφᾶς ἐπὶ τῷ τοὺς δεξιοὺς αὐτῶν
ἐξορυχθῆναι ὀφθαλμούς, ἢ πολιορκηθέντας ἀπολωλέναι. οἱ δὲ ἀνοχὴν λαβεῖν ἑπτὰ ἡμερῶν 72
ἠξίωσαν, ἵν᾽ ἢ συμμαχούμενοι παρὰ τῶν ὁμοφύλων πολεμήσωσιν ἢ ἑαυτοὺς παραδώσουσι παθεῖν
ἂν ὃ αὐτῷ δοκῇ. ὁ δε Νaασῆς καταφρονήσας αὐτῶν δίδωσι τὴν ἀνοχήν. πέμπουσιν οὖν 73
κατὰ πόλιν τοὺς ἀγγέλοντας τὰ παρὰ τοῦ Νaασσοῦ, οἱ δὲ ἀκούοντες εἰς δάκρυα προήχ- 74
θησαν. γενομένων δὲ τῶν ἀγγέλων καὶ ἐν τῇ τοῦ Σαούλου πόλει, ὁ μὲν λαὸς ὠδύρετο, ὁ δὲ 75
Σάουλος ἀποπέμπει τοὺς ἀγγείλοντας τὸ πάθος ὑποσχόμενος ἥξειν βοηθὸς τῇ τρίτῃ τῶν 76
ἡμερῶν, ὑπομεῖναι κελεύσας τινὰς ἡγησομένους τῆς ὁδοῦ, καὶ ἔνθεος γενόμενος πρὶν ἥλιον
ἀνασχεῖν κρατήσειν εἶπεν τῶν πολεμίων. ὑποτεμὼν δὲ τῶν αὐτοῦ βοῶν τὰ νεῦρα ταὐτὸ 77
θήσειν ἠπείλησε τοὺς μὴ πρὸς τὸν Ἰόρδανον ὡπλισμένους κατὰ τὴν ἐπιοῦσαν ἀπαντήσοντας
ἡμέραν καὶ ἀκολουθήσοντας αὐτῷ καὶ Σαμουήλῳ. τῶν δὲ συνελθόντων κατὰ τὴν ὡρισμένην 78
ἡμέραν ἐξαριθμήσας τὸ πλῆθος· εὗρε χωρὶς τῆς Ἰούδα φυλῆς ἑπτὰ μυριάδων οὔσης τὰς
λοιπὰς ἑβδομήκοντα μυριάδας. δι᾽ ὅλης δὲ τῆς νυκτὸς τὴν ὁδὸν ἀνύσας φθάνει μὲν ἥλιον 79
ἀνίσχοντα, τριχῇ δὲ τὸ στράτευμα διελὼν ἐπιπίπτει πανταχόθεν αἰφνιδίως οὐ προσδοκῶσι
τοῖς ἐχθροῖς, καὶ πολλοὺς ἀποκτείνει τῶν Ἀμανιτῶν καὶ Νaασὴν τὸν βασιλέα. τοῦτο τὸ 80
ἔργον δόξης ἀπολαύειν ἐπὶ ἀνδρείᾳ τὸν Σαοῦλον καὶ τιμᾶσθαι πεποίηκε καὶ τῶν πρό-
τερον καταφρονούντων αὐτοῦ μεταβαλλομένων· ἐπιστρατεύσας γὰρ καὶ τῇ τῶν Ἀμανιτῶν
χώρᾳ πᾶσαν αὐτὴν καταστρέφεται καὶ πολλὴν λαβὼν λείαν λαμπρῶς ὑπέστρεψε.

Σαμουήλου δὲ κελεύσαντος συνέρχεται ὁ λαὸς εἰς Γάλγαλα. καὶ πάλιν χρίει τὸν 83
Σαοῦλον τῷ ἁγίῳ ἐλαίῳ ὁρῶντος τοῦ πλήθους καὶ δεύτερον ἀναγορεύει βασιλέα. καὶ οὕτως
ἡ τῶν Ἑβραίων πολιτεία εἰς βασιλείαν μετέπεσεν. ἐπὶ γὰρ Μωυσέος καὶ Ἰησοῦ ἀριστο- 84
κρατούμενοι διετέλουν, μετὰ δὲ ταῦτα ἔτεσι δέκα καὶ ὀκτὼ τὸ πλῆθος αὐτῶν ἀναρχία
κατέσχεν, εἶτ᾽ αὖθις εἰς τὴν προτέραν ἐπανῆλθε πολιτείαν τῷ κατὰ πόλεμον ἀρίστῳ 85
δόξαντι γεγενῆσθαι περὶ τῶν ὅλων δικάζειν ἐπιτρέποντες· καὶ διατοῦτο τὸν χρόνον τοῦτον
τῆς πολιτείας κριτῶν ἐκάλεσεν. ἐκκλησιάσας δὲ Σαμούηλος τοὺς Ἑβραίους „ἐπόμνυμι, 86
φησίν, ὑμῖν τὸν μέγιστον θεόν, εἰπεῖν τί μοι πέπρακται σκαιὸν ἢ ἄδικον ἢ κέρδους
ἕνεκα ἢ πλεονεξίας ἢ χάριτος τῆς πρὸς ἄλλους· ἐλέγξαι δὲ καὶ εἰ μόσχον ἢ πρόβατον ἢ 87
τοιοῦτον τί προσηκάμην, ἃ πρὸς τροφὴν ἀνεμέσητον ἐστὶ λαμβάνειν, ἢ εἴ τινος ὑποζύγιον
εἰς ἐμὴν χρείαν ἀποσπάσας ἐλύπησα“. οἱ δὲ ἀνέκραγον μηδὲν τούτων ὑπ᾽ αὐτοῦ γεγονέναι,
προστῆναι δὲ ὁσίως αὐτὸν τοῦ ἔθνους. Σαμούηλος δέ „ἐπεὶ δεδώκατέ μοι, φησί, τὸ μηδὲν 88

4 κεχειρωμένους Henn. et m. 1 Busb. — 10 ἀπολωλέναι om. Busb. — 12 δίδοσι Busb. — 13 ἀγγέλλοντας Henn. et ex corr. Busb. — 19 ἡμέραν] καιρὸν Iosephus. — 27 κελεύσαντος] φήσαντος Iosephus. συνέρχεται] συνίασι Iosephus. — 33 ἐκάλεσαν Iosephus.

Zonaras I p. 104 Bonn.

91 ἄτοπον πρᾶξαι, ἀκούσατε ὅτι μεγάλα ἠσεβήσατε εἰς τὸν θεὸν αἰτησάμενοι βασιλέα. ἀλλ'
ἐγὼ μὲν ἀπέδειξα τοῦτον ὃν αὐτὸς ἐπελέξατο, ἵνα μέντοι γνῶτε τὸν θεὸν ὀργιζόμενον,
92 ὄψεσθε θέρους ἐν ἀκμῇ χειμῶνα γενόμενον". ταῦτα τοῦ προφήτου εἰπόντος βρονταῖς
σημαίνει τὸ θεῖον καὶ ἀστραπαῖς καὶ χαλάζης καταφορᾷ τὴν τοῦ Σαμουήλου περὶ πάντων
ἀλήθειαν, ὡς περιδεῆ τὸν λαὸν γενέσθαι ἁμαρτεῖν τὲ ὁμολογεῖν καὶ ἱκετεύειν τὸν προ-
93 φήτην τὸν θεὸν αὐτοῖς εὐμενίσαι. ὁ δὲ ὑπισχνεῖται· συνεβούλευε μέντοι δικαίους εἶναι
καὶ ἀγαθούς.

95 Σαοῦλος δ' ἐπολιόρκει φρούριόν τι τῶν Παλαιστηνῶν. οἱ γὰρ Παλαιστηνοὶ καταστρε-
φόμενοι τοὺς Ἰουδαίους τά τε ὅπλα αὐτοὺς ἀφῃροῦντο καὶ σιδηροφορεῖν ἢ χρῆσθαι σιδήρῳ
ἀπηγόρευον καὶ διατοῦτο οἱ γεωργοί, εἴποτε δεήσει αὐτοῖς ἐπισκευάσαι ὕννην ἢ μακέλλαν
ἢ ἄλλο τι τῶν εἰς γεωργίαν χρησίμων, φοιτῶντες παρὰ τοὺς Παλαιστηνοὺς ταῦτ' ἔπραττον.
97 ὡς δ' ἠκούσθη τοῖς Παλαιστηνοῖς ἡ τοῦ φρουρίου αἵρεσις, στρατεύουσιν ἐπὶ τοὺς Ἰουδαίους.
98 ὃ μαθὼν ὁ βασιλεὺς Σάουλος εἰς Γάλγαλα καταβαίνει καὶ διὰ πάσης κηρύσσει τῆς χώρας
99 ἐπ' ἐλευθερίᾳ καλῶν τὸν λαὸν ἐπὶ τὸν πόλεμον τὸν πρὸς τοὺς Παλαιστηνούς. κατανοήσαντες
100 δὲ τὸ πλῆθος τῶν Παλαιστηνῶν οἱ τοῦ λαοῦ κατεπλάγησαν. πέμψας δὲ Σάουλος πρὸς τὸν
προφήτην ἐκάλει πρὸς ἑαυτόν. ὁ δὲ περιμένειν αὐτὸν ἐκέλευσεν αὐτόθι καὶ παρασκευάζειν
θύματα· μετὰ γὰρ ἡμέρας ἓξ ἥξειν, ὡς θύσωσι τῇ ἑβδόμῃ καὶ οὕτως τοῖς πολεμίοις συμ-
101 βάλωσι. καὶ περιμένει μὲν ὡς ὁ προφήτης ἐπέστειλεν, οὐκέτι μέντοι διατηρεῖ τὴν ἐντολήν,
ἀλλ' ὡς ἑώρα βραδύνοντα μὲν τὸν προφήτην, ἑαυτὸν δὲ ὑπὸ τῶν στρατιωτῶν καταλει-
102 πόμενον, λαβὼν τὰ θύματα ἐπεὶ τὸν Σαμούηλον ἤκουσε προσιόντα ὑπαντήσων ἐξῄει. ὁ
δ' οὐκ ὀρθῶς ἔφησε πεποιηκέναι αὐτὸν παρακούσαντα ὧν ἐπέστειλε κακῶς τε ἱερουργή-
103 σαντα καὶ προπετῆ γενόμενον. ἀπολογουμένου δὲ τοῦ Σαούλου καὶ περιμεῖναι τὰς ἡμέρας
104 ἃς ὥρισε λέγοντος, ὑπὸ δὲ ἀνάγκης ἐπειχθῆναι πρὸς τὴν θυσίαν, „ἀλλὰ σύγε, φησὶν ὁ
Σαμούηλος, εἰ δίκαιος ἦσθα καὶ μὴ ὧν ὑπέθετό μοι περὶ τῶν παρόντων ὁ θεὸς ὠλιγώ-
105 ρησας, σοί τε πλεῖστος βασιλεῦσαι χρόνος ἐξεγένετο καὶ τοῖς σοῖς ἐγγόνοις". καὶ Σαμούηλος
μὲν ἀχθόμενος ἀνεχώρησε, Σάουλος δὲ εἰς Γαβαὼν πόλιν ἔχων διακοσίους μεθ' ἑαυτοῦ
106 μόνον ἧκε σὺν Ἰωνάθῃ τῷ παιδί. τούτων δὲ οἱ πλείους οὐκ εἶχον ὅπλα. διελόντες δὲ εἰς
τρία τὴν στρατιὰν οἱ Παλαιστηνοὶ καὶ κατὰ τοσαύτας ὁδοὺς ἐπερχόμενοι τὴν τῶν Ἑβραίων
107 χώραν ἐπόρθουν. καθεζόμενοι δὲ Σάουλος καὶ Ἰωνάθης καὶ ὁ ἀρχιερεὺς Ἀχίας ἀπόγονος
ὢν Ἠλεὶ τοῦ ἀρχιερέως ἐπὶ βουνοῦ ὑψηλοῦ καὶ τὴν γῆν λεηλατουμένην ὁρῶντες βοηθῆσαι
δὲ μετὰ ἑξακοσίων μόνων μὴ δυνάμενοι, ἐν ἀγωνίᾳ δεινῇ ἦσαν. συντίθεται δὲ ὁ Σαούλου
παῖς τῷ ὁπλοφόρῳ, κρύφα πορευθῆναι εἰς τὴν τῶν πολεμίων παρεμβολὴν καὶ ταραχὴν
108 ἐμποιῆσαι καὶ θόρυβον, καὶ καταβὰς ἀπὸ τοῦ βουνοῦ πρὸς τοὺς πολεμίους ἐπορεύετο. ἦν
109 δὲ τὸ τῶν πολεμίων στρατόπεδον ἐπὶ κρημνῷ, ἔνθεν συνέβαινεν ἠμελῆσθαι τὰς φυλακὰς
110 τοῦ στρατοπέδου διὰ τὴν φυσικὴν τοῦ χωρίου ἀσφάλειαν. ὡς οὖν ἧκον εἰς τὴν παρεμ-
βολήν, Ἰωνάθης „προσβάλωμεν τοῖς πολεμίοις, ἔλεγε, κἂν μὲν ἀναβῆναι κελεύσωσιν ἡμᾶς
πρὸς αὐτοὺς ἰδόντες, τοῦτο σημεῖον νίκης ὑποληπτέον, ἂν δὲ φθέγξωνται μηδέν, ὑποστρέ-
111 ψωμεν". προσιόντων δ' αὐτῶν τῷ στρατοπέδῳ τῶν πολεμίων ἰδόντες οἱ Παλαιστηνοί

2 γνῶτε] φανερὸν ποιήσω Iosephus. — 6 εὐμενίσαι] εὐμενῆ καταστῆσαι Iosephus. — 10 ὕνην Henn. — 15 λαοῦ] Σαούλου Iosephus. — 16 αὐτὸν om. Henn. — 20 λαβὸν Busb. — 20 ἐξῄει] ἐξῆλθε Iosephus. — 23 ἃς] Iosephus, om. Busb. Henn. — 24 ὀλιγωρήσας m. 1 Busb. — 31 ἦσαν] καθεστήκεσαν Iosephus.



Zonaras I p. 105 Bonn.

„δεῦτ', ἔφασαν, ἀνέλθετε πρὸς ἡμᾶς, ἵνα ὑμᾶς τιμωρησώμεθα τῶν τετολμημένων ἀξίως". 112
ἀσπασάμενος δὲ τὴν φωνὴν Ἰωνάθης ὡς νίκης σημεῖον ἀνεχώρησε μὲν ἐξ οὗπερ ὤφθη τόπου
τοῖς πολεμίοις, ἧκε δ' ἐπὶ τὴν πέτραν ἔρημον οὖσαν φυλάκων. κἀκεῖθεν ἀνερπύσας μετὰ 113
τῶν ὁπλοφόρων ἐπιπίπτουσι κοιμωμένοις τοῖς πολεμίοις καὶ ἀποκτείνουσι μὲν ὡς εἴκοσι,
ταραχῆς δὲ τοὺς λοιποὺς ἔπλησαν, ὡς τινὰς μὲν φυγεῖν τοὺς δὲ πολλοὺς ὑπ' ἀλλήλων 114
ἀπόλλυσθαι διὰ τὸ ἐκ πολλῶν εἶναι μὴ γνωρίζοντας ἀλλήλους, καὶ οἱ μὲν ἐκτείνοντο, οἱ
δὲ κατὰ τῶν πετρῶν ὠθούμενοι ἐκρημνίζοντο. τεταράχθαι δὲ μαθὼν Σαοῦλος τὸ τῶν 115
πολεμίων στρατόπεδον καὶ τὸν υἱὸν μετὰ τοῦ ὁπλοφόρου ἀπεῖναι, κελεύει τὸν ἀρχιερέα
προφητεύειν αὐτῷ περὶ τῶν μελλόντων. τοῦ δὲ νίκην ἔσεσθαι φράσαντος ἐπεξέρχεται καὶ
τεταραγμένοις προσβάλλει τοῖς Παλαιστηνοῖς. προσρέουσι δ' αὐτῷ καὶ οἱ πρότερον εἰς 116
τοὺς ὑπονόμους καὶ τὰ σπήλαια συμφυγόντες. διώκει οὖν τοὺς πολεμίους κατὰ πᾶσαν
ἐσκορπισμένους τὴν χώραν, καὶ ἐπαρᾶται τοῖς Ἑβραίοις, ἵν' εἴ τις ἀποσχόμενος τοῦ 117
φονεύειν τοὺς ἐχθροὺς φάγοι ἕως οὗ νὺξ τῆς διώξεως αὐτοὺς παύσει, οὗτος ἐπάρατος εἴη.
ἐπεὶ δὲ κατά τινα δρυμὸν ἐγένοντο μελισσῶν γέμοντα Ἰωνάθης οὐκ ἀκηκοὼς 118
τῆς τοῦ πατρὸς ἀρᾶς ἀποθλίψας τί κηρίον τοῦ μέλιτος ἤσθιεν. μεταξὺ δὲ γνοὺς 119
τὰ τῆς ἀρᾶς ἐσθίων ἐπαύσατο. πολλὰς οὖν κατακόψαντες μυριάδας τῶν Παλαι- 120
στηνῶν δείλης ὀψίας ἐπὶ διαρπαγὴν τοῦ στρατοπέδου τρέπονται. κατασφάζουσιν οὖν ἐκ τῶν
βοσκημάτων καὶ ταῦτ' ἔναιμα κατήσθιον. γνοὺς δὲ Σαοῦλος τοῦτο κελεύει κυλισθῆναι 121
λίθον μέγαν εἰς μέσον καὶ κηρύσσει θύειν ἐπ' αὐτοῦ τὸν ὄχλον τὰ ἱερεῖα καὶ τὰ κρέα σὺν
τῷ αἵματι μὴ δαίνυσθαι. ἄγειν δ' ἐπὶ τὴν παρεμβολὴν τῶν πολεμίων βουλόμενος τὸν 122
λαόν, καλέσας Ἀχίτοβον τὸν ἀρχιερέα γνῶναι κελεύει, εἰ δίδωσιν ὁ θεὸς ἐπὶ τὸ στρατό-
πεδον τῶν ἐχθρῶν βαδίσαι καὶ διαφθεῖραι τοὺς ἐν αὐτῷ. εἰπόντος δὲ τοῦ ἱερέως μὴ 123
ἀποκρίνεσθαι τὸν θεόν „ἀλλ' οὐ δίχα αἰτίας, εἶπεν ὁ Σαοῦλος, τοῦτο ἐστίν, αἴτιον
δὲ τῆς σιωπῆς ἁμάρτημά τι λανθάνον ἐστίν. ὄμνυμι οὖν τοῦτον αὐτόν, κἂν ὁ παῖς ὁ ἐμὸς 124
Ἰωνάθης ᾖ τὸ ἁμάρτημα ἐργασάμενος, ἀποκτείνειν αὐτόν". καὶ παραχρῆμα πάντας ἵστησιν 125
εἰς ἕνα τόπον, ἵσταται δὲ καὶ αὐτὸς καὶ ὁ παῖς κατὰ ἄλλο μέρος καὶ κληρωσαμένων εἰς 126
Ἰωνάθην ὁ κλῆρος ἔπεσεν. ἐρωτώμενος δὲ τί πεπλημμέληκεν „ἄλλο μὲν οὐδέν, εἶπεν, ὅτι δὲ
χθὲς διώκων ἀγνοῶν τὴν ἀρὰν καὶ τὸν ὅρκον ἐγευσάμην κηρίου". Σάουλος δὲ ἀποκτείνειν
αὐτὸν ὄμνυσιν. ἐπὶ τούτοις ὁ λαὸς ἤλγησεν ὤμοσέ τε μὴ περιόψεσθαι τὸν αἴτιον τῆς νίκης 128
Ἰωνάθην ἀποθανοῦντα. καὶ τὸν μὲν ἐξαρπάζουσι τῆς ἀρᾶς, αὐτοί δ' εὐχὰς ὑπὲρ αὐτοῦ
ποιοῦνται. καὶ ὁ Σάουλος εἰς τὴν ἑαυτοῦ πόλιν ὑπέστρεψε διαφθείρας τῶν πολεμίων 129
ὡσεὶ μυριάδας ἕξ. βασιλεύει δ' εὐτυχῶς καὶ τὰ πλησιόχωρα τῶν ἐθνῶν χειροῦται Ἀμμανίτας
καὶ Μωαβίτας καὶ Παλαιστηνοὺς Ἰδουμαίους Ἀμαληκίτας τε καὶ τὸν βασιλέα τῆς Ὠβᾶς.
ἦσαν δὲ παῖδες αὐτοῦ τρεῖς μὲν ἄρρενες Ἰωνάθης καὶ Ἰησοῦς καὶ Μέλχισος, καὶ θυγατέρες
δύο Μερὸβ καὶ Μελχόλ. στρατηγὸν δὲ εἶχε τὸν τοῦ θείου Νίρου παῖδα Ἀβέννηρον· ἦν δ' 130
αὐτῷ καὶ πλῆθος ἁρμάτων καὶ ἱππέων, τοὺς δ' Ἑβραίους εἰς εὐπραγίαν προήγαγε καὶ τῶν
ἄλλων ἐθνῶν δυνατωτέρους ἀπέδειξε.

Παραγενόμενος δὲ Σαμούηλος πρὸς τὸν Σαοῦλον ἔφη πεμφθῆναι πρὸς τοῦ θεοῦ 131
κελεύοντος πολέμῳ τιμωρησάμενον τοὺς Ἀμαληκίτας καὶ κρατήσαντα μηδὲν αὐτῶν ὑπολιπεῖν, 132

5 ἔπλησαν] ἐγέμισαν Iosephus. — 19 μέσην Henn. — 20 δαίνυσθαι Busb. — 21 τὸν λαὸν] τὴν στρατιὰν Iosephus.

Zonaras I p. 106 Bonn.

133 ἀλλὰ καὶ γυναῖκας κτείνειν καὶ νήπια ὑπὲρ ὧν τοὺς προγόνους ἡμῶν εἰργάσαντο κατὰ τὴν
ἔρημον, καὶ ὑποζύγια δὲ καὶ τὰ ἄλλα βοσκήματα ἅπαντα ἀναθεῖναι τῷ θεῷ καὶ τὸ Ἀμα-
134 λήκου ὄνομα ἐξαλεῖψαι. ὁμολογεῖ δ' οὕτω ποιήσειν ὁ Σάουλος καὶ ἀθροίζει πᾶσαν τὴν
δύναμιν καὶ ταύτην ἐξαριθμήσας εὑρίσκει τῶν Ἰσραηλιτῶν τεσσαράκοντα μυριάδας· ἡ δὲ
135 τοῦ Ἰούδα φυλὴ καθ' ἑαυτὴν ἦν στρατιῶται τρισμύριοι. Σάουλος δὲ εἰς τὴν χώραν τῶν
Ἀμαληκιτῶν ἐμβαλὼν ἐνέδρας λόχους τίθησι, καὶ συμβαλὼν αὐτοῖς τρέπει καὶ διαφθείρει
136 πάντας. εἶτα ταῖς πόλεσι προσβάλλει καὶ λαβὼν κατὰ κράτος ἐπὶ σφαγὴν γυναικῶν καὶ
νηπίων ἐχώρησε. λαμβάνει δὲ καὶ τὸν βασιλέα τῶν ἐχθρῶν Ἄγαγον, οὗ θαυμάσας τὸ
138 κάλλος καὶ τὸ τοῦ σώματος μέγεθος σωτηρίας ἔκρινεν ἄξιον, τῆς μνήμης ὧν ἐπέταξεν ὁ
139 θεὸς τὸ τοῦ πολεμίου κάλλος ἐπίπροσθεν ποιησάμενος. συνεξήμαρτο δ' αὐτῷ καὶ τὸ
πλῆθος τῶν ὑποζυγίων καὶ τῶν βοσκημάτων διαρπάσαν τά τε ἄλλα χρήματα ἐκφορῆσαν,
140 εἴ τι δὲ μὴ σπουδῆς ἄξιον ἦν, ἐκεῖνο διέφθειραν. νικήσας δὲ Σάουλος ἅπαντας τοὺς ἀπὸ
Πηλουσίου τῆς Αἰγύπτου ἕως τῆς Ἐρυθρᾶς θαλάσσης διέφθειρε τὴν τῶν πολεμίων χώραν καὶ
141 142 οἴκαδε ἀνέστρεψεν. ὁ δὲ θεὸς ἄχθεται τῇ τοῦ Ἀγάγου σωτηρίᾳ καὶ τῇ τῶν βοσκημάτων διαρπαγῇ
143 μετανοεῖν ἔλεγε πρὸς Σαμούηλον ἐπὶ τῷ χειροτονῆσαι βασιλέα τὸν Σάουλον. ταῦθ' ὁ προ-
144 φήτης ἀκούσας δι' ὅλης τῆς νυκτὸς παρεκάλει καταλλάττεσθαι τῷ βασιλεῖ. ὁ δὲ τὴν
145 συγγνώμην οὐκ ἐπένευσεν, ἅμα δὲ τῇ ἡμέρᾳ Σαμούηλος εἰς Γάλγαλα πρὸς Σάουλον παρα-
γίνεται, ὁ δὲ βασιλεὺς προστρέχει αὐτῷ καὶ κατασπασάμενος εὐχαριστεῖν ἔλεγε τῷ
146 θεῷ δόντι τὴν νίκην, ἅπαντα μέντοι τὰ κελευσθέντα πεπρᾶχθαι. Σαμούηλος δέ „πόθεν,
εἶπεν, ἀκούω βοῆς θρεμμάτων καὶ ὑποζυγίων ἐν τῷ στρατοπέδῳ;" ὁ δὲ τὸν λαὸν ταῦτ'
ἔλεγεν εἰς θυσίας τετηρηκέναι· τὸ δὲ τῶν Ἀμαληκιτῶν γένος ἅπαν ἐξηφανίσθαι, μόνον δὲ
147 τηρῆσαι τὸν αὐτῶν βασιλέα, καὶ τί δεῖ ποιεῖν περὶ τούτου βουλεύεσθαι. ὁ δὲ προφήτης
149 οὐχὶ θυσίαις ἔλεγεν ἥδεσθαι τὸ θεῖον, τοῖς δ' ὃ κελεύσει διὰ μνήμης ἔχουσι καὶ τεθνᾶναι
150 μᾶλλον ἢ παραβῆναι τοῦθ' αἱρουμένοις τέρπεται. σὺ τοίνυν καταφρονήσας ὧν ἐπέστειλεν
ὁ θεός· πῶς οὖν οἴει τὴν θυσίαν αὐτὸν προσβλέπειν δι' ὀργῆς ὄντα σοι. προσδόκα τοίνυν
τὴν βασιλείαν ἀφαιρεθησόμενος καὶ τὴν ἐξουσίαν, ὅτι τοῦ παρασχόντος σοι ταύτην ἠμέλησας".
151 Σάουλος δὲ ἁμαρτεῖν ὡμολόγει, παρακαλεῖ δὲ τὸν προφήτην θῦσαι χαριστήρια τῷ θεῷ· ὁ
152 δὲ ἀπῄει τὸν θεὸν εἰδὼς ὀργιζόμενον. Σάουλος δὲ κατασχεῖν αὐτὸν βουλόμενος τῆς
153 διπλοΐδος αὐτοῦ δράττεται καὶ βιαίας τῆς ὁλκῆς γενομένης διασχίζει τὸ ἱμάτιον. τοῦ δὲ
προφήτου τὴν βασιλείαν οὕτως αὐτοῦ διασχισθῆναι φήσαντος καὶ λήψεσθαι ταύτην ἀγαθὸν
154 καὶ δίκαιον, ὁ Σάουλος ἀσεβῆσαι μὲν ἔλεγεν, ἀγένητα δὲ ποιῆσαι τὰ πεπραγμένα μὴ
δύνασθαι· τιμῆσαι δ' αὐτὸν παρεκάλει τοῦ πλήθους ὁρῶντος σὺν αὐτῷ παραγενόμενον τὸν
155 θεὸν προσκυνῆσαι. πείθεται ὁ προφήτης καὶ προσελθὼν προσκυνεῖ τῷ θεῷ. ἄγεται δὲ
καὶ ὁ τῶν Ἀμαληκιτῶν βασιλεὺς Ἄγαγος πρὸς αὐτόν. καὶ κελεύει αὐτὸν παραχρῆμα ἀπο-
θανεῖν, καὶ αὐτὸς εἰς Ἀρμαθὸν ἀπαλλάσσεται.
156 Σάουλος δ' αἰσθόμενος ὧν πειραθείη κακῶν ἐχθρὸν ἑαυτῷ τὸν θεὸν ποιήσας, εἰς τὸ
βασίλειον ἀναβαίνει Γαβᾶ, βουνὸν σημαίνει τὸ ὄνομα, καὶ οὐκέτι εἰς ὄψιν ἔρχεται τῷ

7 γυναικῶν καὶ νηπίων] καὶ νηπίων καὶ γυναικῶν Henn. — 9 ἐπέταξεν] ἐπέστειλεν Iosephus. — 10 συνεξήμαρτον Henn. — 18 κατασπασόμενος Henn. et man. 1 Busb. — 21 ἔλεγεν] ἀπεκρίνατο Iosephus. — 23 θυσίας Busb. — 25 προσβλέπει Busb. — 27 ἁμαρτεῖν] ἀδικεῖν Iosephus. — 27 ὁμολόγει m. 1 Busb. — 29 δράττεται] λαμβάνεται Iosephus. — 36 ποιήσας] κατασκευάσας Iosephus.



Zonaras I p. 108 Bonn.

προφήτῃ. Σαμουήλῳ δὲ λυπουμένῳ περὶ αὐτοῦ παύσασθαι τῆς φροντίδος ἐκέλευσεν ὁ 157
θεός, λαβεῖν δὲ τὸ ἀγγεῖον τοῦ ἐλαίου καὶ ἀπελθεῖν εἰς Βηθλεέμην πρὸς Ἰεσσαῖον καὶ χρίσαι
τὸν υἱὸν αὐτοῦ ὃν ἂν ἐπιδείξω σοι εἰς βασιλέα. ὁ δ' εὐλαβεῖσθαι φήσας, μὴ τοῦτο μαθὼν
Σάουλος ἀνέλῃ με, τοῦ θεοῦ παραθαρρύναντος ἄπεισιν. ἀσπαζομένων δ' αὐτὸν πάντων 158
ποιήσας θυσίαν συγκαλεῖ τὸν Ἰεσσαῖον μετὰ τῶν τέκνων. καὶ ἰδὼν τὸν πρεσβύτατον τῶν
υἱῶν αὐτοῦ εὐμεγέθη καὶ καλὸν εἴκασεν τοῦτον εἶναι τὸν βασιλεύσοντα. ἐρωτήσαντι δὲ 159
τὸν θεόν, εἰ χρίσει αὐτὸν τῷ ἐλαίῳ ὃν αὐτὸς ἐτεθαυμάκει καὶ τῆς βασιλείας ἄξιον ἔκρινεν,
οὐ ταὐτὰ βλέπειν ἀποκρίνεται θεὸν καὶ ἀνθρώπους. ταῦτα ἀκούσας Σαμούηλος πάντας 161
ἐκέλευσεν ἐπιδεῖξαι αὐτῷ τοὺς υἱοὺς τὸν Ἰεσσαῖον. ἦλθον οὖν ἄλλοι πέντε, καὶ ἐπηρώτησε 162
τὸν θεόν, τίνα τούτων αἱρεῖται βασιλέα. εἰπόντος δ' οὐδένα, πυνθάνεται τοῦ Ἰεσσαίου,
εἰ καὶ ἄλλοι παῖδες αὐτῷ εἰσί. φήσαντος δὲ εἶναι Δαυίδην, ποιμαίνειν δέ, κελεύει καλεῖν 163
αὐτόν. ὡς δ' ἧκεν ὁ Δαυίδης παῖς ξανθὸς γοργὸς τὰς ὄψεις καὶ καλὸς ἄλλως „οὗτός 164
ἐστιν, εἰπὼν πρὸς ἑαυτὸν Σαμούηλος, ὁ βασιλεύειν ἀρέσας τῷ θεῷ" κατακλίνεται μὲν
αὐτὸς εἰς εὐωχίαν, κατακλίνει δ' ὑπ' αὐτὸν τὸν νεανίσκον καὶ τὸν Ἰεσσαῖον μετὰ τῶν
παίδων. ἔπειτα λαβὼν τὸ ἔλαιον ἀλείφει τ' αὐτὸν καὶ πρὸς οὖς ἠρέμα λαλεῖ, ὅτι βασι- 165
λεύειν αὐτὸν ὁ θεὸς ᾕρηται, παρῄνει τε εἶναι δίκαιον καὶ κατήκοον αὐτοῦ τῶν προστα-
γμάτων. καὶ Σαμούηλος μὲν ἀπαλλάσσεται, πρὸς δὲ τὸν Δαυίδην μεταβαίνει τὸ θεῖον 166
καταλιπὸν Σάουλον. καὶ ὁ μὲν προφητεύειν ἤρξατο τοῦ θείου πνεύματος εἰς αὐτὸν μετοι-
κήσαντος, τὸν Σάουλον δὲ περιέρχεται πάθη τινὰ καὶ δαιμόνια πνίγοντα αὐτὸν καὶ στραγ-
γάλας ἐπιφέροντα, ὡς τοὺς ἰατροὺς πρὸς θεραπείαν ἀπειρηκότας κελεῦσαι, εἴ τις ἐστὶ
ψάλλειν ἐπὶ κινύρᾳ δυνάμενος, τοῦτον ὅταν αὐτῷ προσίοι τὰ δαιμόνια καὶ ταράττοι ὑπὲρ
κεφαλῆς στάντα ψάλλειν. φήσαντος δέ τινος τεθεᾶσθαι Ἰεσσαίου υἱὸν ἔτι παῖδα εὐπρεπῆ 167
καὶ καλὸν καὶ ψάλλειν εἰδότα καὶ ᾄδειν ὕμνους, ὁ βασιλεὺς πέμψας πρὸς τὸν Ἰεσσαῖον
ἐκέλευσεν ἀποστεῖλαι αὐτῷ τὸν Δαυίδην. ὁ δὲ Ἰεσσαῖος πέμπει τὸν υἱόν. ἐλθόντος δὲ 168
ἥσθη καὶ ποιήσας ὁπλοφόρον ἦγε διὰ τιμῆς· ἐξῄδετο γὰρ ὑπ' αὐτοῦ καὶ πρὸς τὴν ἀπὸ
τῶν δαιμονίων ταραχὴν μόνος ἰατρὸς ἦν λέγων τε τοὺς ὕμνους καὶ ψάλλων ἐν τῇ κινύρᾳ
καὶ ποιῶν ἑαυτοῦ γενέσθαι τὸν Σάουλον.
Χρόνοις δ' ὕστερον οὐ πολλοῖς Παλαιστηνοὶ συνελθόντες ἐφεστᾶσι τοῖς Ἰσραηλίταις. 170
ἀντεπεξάγει δ' αὐτοῖς τὴν στρατιὰν καὶ Σάουλος. διέστη δ' ἀλλήλων τὰ στρατόπεδα, 171
μέσον δ' αὐτῶν αὐλὼν ἦν. καταβὰς οὖν τῶν Παλαιστηνῶν εἷς Γολιάθης ὄνομα ἀνὴρ
πηχῶν τεσσάρων καὶ σπιθαμῆς, θώρακα μὲν ἐνδεδυμένος σταθμὸν ἄγοντα πέντε χιλιάδας
σίκλων, κόρυθας δὲ καὶ κνημίδας χαλκᾶς ἀναλόγους τῷ σώματι, δόρυ φέρων οὐ κοῦφον
βάσταγμα δεξιᾶς, λόγχην ἔχων ἑξακοσίων σίκλων, καὶ στὰς μεταξὺ τῶν παρατάξεων βοὴν 172
ἀφίησι μεγάλην ἕνα προσκαλούμενος εἰς μάχην, ἵνα οἷς ἂν νίκη γένηται δουλεύσωσιν οἱ 173
ἄλλοι αὐτοῖς. ταῦτα εἰπὼν ἀνεχώρησε καὶ μέχρι τεσσαράκοντα ἡμερῶν οὐ διέλιπε προσ- 174
καλούμενος ἐπὶ τοῖς εἰρημένοις τοὺς πολεμίους. ὁ Σάουλος δ' ἀπέστειλε Δαυίδην πρὸς 175
Ἰεσσαῖον ἀρκούμενος τοῖς τρισὶν υἱοῖς, οὓς ἐπὶ συμμαχίαν ἔπεμψεν. ὁ δὲ ἐπὶ τὰ ποίμνια 176
παραγίνεται. μετ' οὐ πολὺ δὲ πέμπεται εἰς τὸ στρατόπεδον παρὰ τοῦ πατρὸς κομίζων
τοῖς ἀδελφοῖς ἐφόδια. τοῦ δὲ Γολιάθου προσκαλουμένου καὶ ὀνειδίζοντος, ὅτι μηδεὶς αὐτῷ 177

1 Ἰεσαῖον cod. Busb. — 2 τῶν υἱῶν Iosephus. — 4 ἰδών] θεασάμενος Iosephus. — τὸν υἱόν Busb. — 7 ἀποκρίνεται] εἶπε Iosephus. — 9 τοῦτον Busb. — 37 παρά] ὑπό Iosephus. — 31 κόρυθα Iosephus.

Zonaras I p. 109 Bonn.

συμμίξαι τολμᾷ, ὁ Δαυίδης ἀκούσας ἠγανάκτησε καὶ πρὸς τοὺς ἀδελφοὺς ἑτοίμως εἶπεν
178 ἔχειν μονομαχῆσαι. ὁ δὲ πρῶτος τῶν ἀδελφῶν ἐπέπληξεν αὐτόν. καταιδεσθεὶς δὲ τὸν
ἀδελφὸν ὑπεχώρησε καὶ πρός τινας τῶν στρατιωτῶν ἀπελάλησεν, ὅτι θέλοι μονομαχέσασθαι
179 τῷ προσκαλουμένῳ. ὃ μαθὼν ὁ βασιλεὺς μεταπέμπεται αὐτὸν καὶ ὡς βούλοιτο διὰ μάχης
181 χωρῆσαι τῷ πολεμίῳ γνοὺς τὸ μὲν τολμηρὸν αὐτοῦ καὶ τὴν εὐψυχίαν ἐθαύμασεν, οὐκ
ἐθάρρει δ' ἐπ' αὐτῷ διὰ τὴν ἡλικίαν. Δαυίδης δὲ τῷ θεῷ θαρρῶν „ἐπαγγέλομαι, ἔφη,
182 νικήσειν τὸν βάρβαρον· πεπείραμαι γὰρ αὐτοῦ τῆς βοηθείας, ὅτε μοι λέων ἐπῆλθε τῇ
ποίμνῃ, ὃν ἁρπάσαντα ἄρνα διώξας τὸν μὲν ἄρνα ἐκ τοῦ στόματος αὐτοῦ ἐξαρπάζω,
αὐτὸν δ' ὁρμήσαντα ἐπ' ἐμὲ τῆς οὐρᾶς βαστάσας καὶ προσρήξας τῇ γῇ διαφθείρω.
183
184 τὸ δ' αὐτὸ καὶ ἄρκον διατίθεμαι“. ταῦτα ἀκούσας ὁ βασιλεύς „ἄπιθι, φησί, πρὸς
185 τὴν μάχην“, καὶ παραθεὶς αὐτῷ τὰ οἰκεῖα ὅπλα ἐξέπεμπεν. ὁ δὲ Δαυίδης „ταῦτα μέν,
εἶπεν, ὦ βασιλεῦ, σὸς ἔστω κόσμος, ἐγὼ δ' ὡς βούλομαι μαχέσομαι“. ἀράμενος οὖν τὴν
βακτηρίαν καὶ πέντε λίθους ἐκ τοῦ χειμάρρου βαλὼν εἰς τὴν πήραν καὶ σφενδόνην ἐν τῇ
186 δεξιᾷ φέρων πρὸς τὸν Γολίαθον ἐπορεύετο. ὁ δὲ προσέσκωψεν, ὡς οἷς κύνες ἀπελαύνονται
ταῦτ' ἔχων ἔρχεται· μὴ αὐτὸν κύνα εἶναι δοκεῖ; ὁ δὲ καὶ χείρω κυνὸς αὐτὸν νομίζειν
188 ἀπεκρίνετο. κινεῖ δὲ πρὸς ὀργὴν τὸν Γολίαθον, καὶ εἰς ὠκύτητα καὶ δρόμον ὑπὸ τοῦ βάρους
ἐμποδιζόμενος τῶν ὅπλων βάδην ἤρχετο ἐπὶ τὸν Δαυίδην, ἅμα καταφρονῶν ὡς ἀπόνως
189 ἀναιρήσων αὐτόν. ἀπαντᾷ δὲ ὁ νεανίσκος μετὰ συμμάχου τοῦ θεοῦ καὶ ἀνελόμενος ἐκ
τῆς πήρας λίθον καὶ ἁρμόσας τῇ σφενδόνῃ βάλλει τὸν Γολίαθον εἰς τὸ μέτωπον· καὶ
190 διῆλθεν ἕως τοῦ ἐγκεφάλου τὸ βληθέν, ὡς εὐθὺς καρωθέντα πεσεῖν. δραμὼν δὲ τῇ
191 ἐκείνου ῥομφαίᾳ τὴν κεφαλὴν αὐτοῦ ἀποτέμνει. πεσὼν δὲ ὁ Γολίαθος ἧττα τοῖς Παλαιστη-
νοῖς γίνεται καὶ φυγῇ ἑαυτοὺς ἐξαρπάζειν τῶν κινδύνων ἐπειρῶντο. Σάουλος δὲ καὶ ὁ τῶν
Ἑβραίων στρατὸς ἐκπηδῶσιν εἰς αὐτοὺς καὶ πολλοὺς ἀποσφάττοντες διώκουσιν ἄχρι τῶν
192 Γήττης ὁρίων. καὶ θνήσκουσι μὲν τῶν Παλαιστηνῶν εἰς τρισμυρίους, δὶς δὲ τοσοῦτοι
τραυματίαι γίνονται· Σάουλος δὲ ὑποστρέψας εἰς τὸ στρατόπεδον διαρπάζει τὸ χαράκωμα
καὶ ἐνέπρησε. τὴν δὲ κεφαλὴν τοῦ Γολιάθου Δαυίδης εἰς τὴν ἰδίαν σκηνὴν ἐκόμισε καὶ
193 τὴν ῥομφαίαν ἀνέθηκεν τῷ θεῷ. ὑπαντῶσαι δ' αἱ γυναῖκες τῇ στρατιᾷ μετὰ κυμβάλων
ᾖδον, ὡς πολλὰς Σαοῦλος ἀπώλεσε χιλιάδας, αἱ δὲ παρθένοι, ὡς μυριάδας Δαυίδης ἀφα-
194 νίσειε. τούτων ἀκούων ὁ βασιλεύς, ὡς τὸ μὲν ἔλαττον τῆς μαρτυρίας ἀνατεθείη αὐτῷ,
195 τὸ δὲ μεῖζον τῷ νεανίσκῳ, φοβεῖσθαι καὶ ὑποπτεύειν ἤρξατο. καὶ χιλίαρχον αὐτὸν
ἀντὶ ὁπλοφόρου δείκνυσιν· ἐβούλετο γὰρ εἰς τοὺς πολεμίους αὐτὸν ἐκπέμπειν ὡς κιν-
196 δυνεύσοντα. Δαυίδης σύμμαχον τὸν θεὸν ἔχων ὅπου ἀφίκοιτο κατώρθου, ὡς δι' ὑπερβολὴν
ἀνδρείας τὸν λαὸν αὐτοῦ καὶ τὴν Σαούλου θυγατέραν παρθένον οὖσαν λαβεῖν ἔρωτα, ὡς
197 καὶ φανερὰν γενέσθαι καὶ διαβληθῆναι πρὸς τὸν πατέρα. ὁ δὲ ἀφορμῇ χρησάμενος τῆς
ἐπὶ τὸν Δαυίδην ἐπιβουλῆς ἡδέως ἤκουσε καὶ δώσειν αὐτῷ τὴν παρθένον ἔφη, ἐὰν ἑξακο-
199 σίας μοι κομίσῃ κεφαλὰς τῶν πολεμίων, καὶ κελεύει διάπειραν τῆς τοῦ Δαυίδου διανοίας
λαμβάνειν τοὺς οἰκέτας ὅπως ἔχει πρὸς τὴν κόρην. οἱ δ' ἤρξαντο περὶ τούτου διαλέγεσθαι
200 πρὸς αὐτόν. ὁ δὲ μέγα τὸ γενέσθαι γαμβρὸν βασιλέως ἔλεγε καὶ ὑπὲρ αὐτόν. Σάουλος δὲ „οὐ

6 ἐπαγγέλλομαι Busb. m. 2. — 10 ἄπιθι] ἄπιοι Henn. — 11 περιθεὶς Iosephus. — 14 πρὸς] ἐπὶ Busb. Henn. — 17 ἤρχετο] παραγίνεται Iosephus. — 21 ἀποτέμει Henn. — 26 ἐνέπρησε] Iosephus ἀνέπρησε — 33 θυγατέρα Henn. et ex corr. Busb.— ἔρωτι Busb.



Zonaras I p. 111 Bonn.

χρημάτων ἔφη οὐδὲ ἕδνων δεῖσθαι, γαμβροῦ δὲ ἀνδρείαν ἔχοντος καὶ τὴν ἄλλην ἀρετήν.
βούλεσθαι δὲ παρ' αὐτοῦ λαβεῖν ἀντὶ γάμου τῆς θυγατρὸς οὐ χρυσὸν οὐδ' ἄργυρον, Παλαι- 201
στηνῶν δὲ κεφαλὰς ἑξακοσίας. κομισθέντων δὲ τούτων τῶν λόγων πρὸς τὸν Δαυίδην 203
ὥρμησεν εὐθὺς μετὰ τῆς ἑταιρίας ἐπὶ τοὺς πολεμίους. κτείνας δὲ πολλοὺς καὶ κεφαλὰς
ἑξακοσίων ἀποτεμὼν ἧκε πρὸς τὸν βασιλέα διὰ τούτων τὸν ἀντὶ τούτων γάμον ἀπαιτῶν.
Σάουλος δὲ οὐκ ἔχων φυγεῖν ἐκ τῶν ὑπεσχημένων δίδωσιν αὐτῷ τὴν θυγατέρα Μελχάν. 204
ἔμελλε δὲ οὐκ ἐπὶ πολὺ τοῖς γεγενημένοις ἐμμένειν· ὁρῶν γὰρ τὸν Δαυίδην καὶ παρὰ τῷ 205
θεῷ καὶ παρὰ τοῖς ὄχλοις εὐδοκιμοῦντα κατέδεισε καὶ κτείνειν αὐτὸν διεγνώκει καὶ προσ-
τάσσει τὴν ἀναίρεσιν αὐτοῦ Ἰωνάθῃ τῷ παιδὶ καὶ τοῖς πιστοτάτοις τῶν οἰκετῶν. ὁ δὲ 206
καὶ τὸν νεανίσκον ἀγαπῶν καὶ τὴν ἀρετὴν αὐτοῦ καταιδούμενος λέγει πρὸς αὐτὸν τὸ
ἀπόρρητον καὶ συμβουλεύει φυλάττεσθαι καὶ τῷ πατρὶ περὶ αὐτοῦ διαλεχθήσεσθαι καὶ 207
τὴν αἰτίαν μαθεῖν καὶ δηλῶσαι αὐτῷ τὴν τοῦ πατρὸς γνώμην. καὶ Δαυίδης μὲν ὑπεξίσταται, 208
Ἰωνάθης δὲ τῷ πατρὶ λόγους περὶ τοῦ Δαυίδου προσέφερε μεταβαλεῖν πειρώμενος πρὸς τὸ 209 211
ἡμερώτερον, καὶ τοῖς λόγοις αὐτοῦ παρηγορηθεὶς Σάουλος μηδὲν ἀδικήσειν τὸν Δαυίδην ὄμνυσιν, 212
Ἰωνάθης δὲ μεταπεμψάμενος τὸν Δαυίδην σημαίνει αὐτῷ σωτηρίαν παρὰ τοῦ πατρὸς ἄγει
τε πρὸς αὐτόν, καὶ ὡς πρώην παρέμενε τῷ βασιλεῖ. τῶν δὲ Παλαιστηνῶν καὶ αὖθις 213
στρατευσαμένων πρὸς τοὺς Ἑβραίους πέμπεται μετὰ στρατιᾶς Δαυίδης πολεμήσων αὐτοῖς,
καὶ πολλοὺς αὐτῶν ἀποκτείνας ἐπάνεισι. ὑπὸ δὲ τῆς εὐπραγίας ὁ φθόνος ηὔξετο τῷ
Σαούλῳ. ἐπεὶ οὖν πάλιν αὐτὸν τὸ δαιμόνιον ἐθορύβει, καλέσας αὐτὸν εἰς τὸ δωμάτιον ἐν 214
ᾧ κατέκειτο, κατέχων τὸ δόρυ προσέταξε τῷ ψαλμῷ καὶ τοῖς ὕμνοις ἐξᾴδειν αὐτῷ. ἐκείνου δὲ τὰ
κελευσθέντα ποιοῦντος ἀκοντίζει τὸ δόρυ· καὶ τὸ μὲν προειδόμενος ὁ Δαυίδης ἐξέκλινε,
φεύγει δὲ εἰς τὸν οἶκον αὐτοῦ κἀκεῖ διημέρευσε. νυκτὸς δὲ πέμψας ὁ βασιλεὺς ἐκέλευσεν 215
αὐτὸν ἄχρι τῆς ἕω φυλάττεσθαι. Μελχάλη δὲ ἡ γυνὴ αὐτοῦ τὴν τοι πατρὸς διάνοιαν
μαθοῦσα τῷ ἀνδρί „μή σε, φησίν, ἥλιος ἐνταυθοῖ καταλάβῃ· ἴσθι γάρ, ἂν εὑρεθῇς ὑπὸ 216
τοῦ πατρὸς ἀπολούμενος“. καὶ καθιμήσασα διὰ θυρίδος αὐτὸν ἐξέωσεν· εἶτα σκευάσασα 217
τὴν κλίνην ὡς ἐπὶ νοσοῦντι καὶ ὑποθεῖσα τοῖς περιβολαίοις ἧπαρ αἰγός, ἅμ' ἡμέρᾳ Σαούλου
πέμψαντος ἐπὶ τὸν Δαυίδην ὀχλεῖσθαι διὰ τῆς νυκτὸς εἶπεν αὐτὸν ἐπιδείξασα τὴν κλίνην
κατακεκαλυμμένην καὶ τῷ πηδήματι τοῦ ἥπατος σαλεύοντος τὸ ἐπιβόλαιον πιστωσαμένη
τὸ κατακεῖσθαι τὸν Δαυίδην ἀσθενοῦντα. ἀπαγγελθέντος δὲ τοῦ ἀσθενεῖν τὸν Δαυίδην 218
ἐκέλευσεν οὕτως ἔχοντα κομισθῆναι· ἀνακαλύψαντες δὲ τὴν κλίνην καὶ τὸ σόφισμα
τῆς γυναικὸς εὑρόντες ἀπήγγειλαν τῷ βασιλεῖ. μεμφομένου δὲ τοῦ πατρὸς αὐτήν, ὅτι 219
σώσειε τὸν ἐχθρὸν αὐτοῦ, κατ' ἀνάγκην ἀλλὰ μὴ κατὰ προαίρεσιν ἔλεγε τοῦτο πρᾶξαι·
ἀπειλήσειν γὰρ ἐκεῖνον ἀποκτείνειν αὐτήν. ὁ δὲ Δαυίδης ἧκε πρὸς τὸν προφήτην Σαμούηλον 220
εἰς Ἀρμαθὰ καὶ ὡς ἐπιβουλεύοιτο παρὰ τοῦ βασιλέως ἐδήλωσεν. ὁ δὲ προφήτης μαθὼν 221
ταῦτα ἧκε σὺν τῷ Δαυίδῃ ἐπί τινα τόπον Γελβούαθον λεγόμενον κἀκεῖ διέτριβε σὺν αὐτῷ.
ὡς δ' ἀπηγγέλη Σαούλῳ παρὰ τῷ προφήτῃ τυγχάνων ὁ Δαυίδ, πέμψας ὁπλίτας ἐπ' αὐτὸν
ἄγειν ἐκέλευσεν. οἱ δὲ ἐλθόντες καὶ καταλαβόντες προφητῶν ἐκκλησίαν τοῦ θείου μετα- 222
λαμβάνουσι πνεύματος καὶ προφητεύειν ἤρξαντο· Σάουλος δὲ ἄλλους ἔπεμψε, κἀκείνων

6 μελχάν, inter λ et χ rasura in Busb. — 7 γεγεννημένοις Busb. — 11 ἀπόρητον m. 1 Busb. — 16 πρώην] ἔμπροσθεν Iosephus. — 16 αὖθις] πάλιν Iosephus. — 17 πρὸς] ἐπὶ Iosephus. — 29 κατοικεῖσθαι Henn. et m. 1 Busb. — 34 ἀρμαθὰν m. 2 Busb. — 37 ἐκέ- λευσεν] προσέταξεν Iosephus.

Zonaras I p. 113 Bonn.

ταὐτὸ παθόντων πάλιν ἑτέρους ἀπέστειλε· προφητευόντων δὲ καὶ τῶν τρίτων τελευταῖον
223 ὀργισθεὶς αὐτὸς ἐξώρμησεν. ἐπεί δ' ἐγγὺς ἦν, Σαμούηλος πρὶν ἰδεῖν αὐτὸν προφητεύειν
ἐποίησεν. ἐλθὼν δὲ πρὸς αὐτοὺς Σάουλος ἔκφρων γίνεται καὶ τὴν ἐσθῆτα περιδυσάμενος
224 καταπεσὼν ἔκειτο δι' ὅλης ἡμέρας τε καὶ νυκτός. ἀφικομένου δὲ Δαυίδου πρὸς Ἰωνάθην
καὶ περὶ τῆς ἐκ τοῦ Σαούλου ἐπιβουλῆς ἀποδυρομένου Ἰωνάθης μὴ πιστεύειν παρεκάλει
225 226 τοῖς διαβάλλουσιν. ὁ δὲ ὄμνυσιν ἦ μὴν οὕτως ἔχειν. λυπηθεὶς δ' ἐπὶ τούτοις Ἰωνάθης,
τίνος ἐξ αὐτοῦ βούλεται τυχεῖν ἠρώτα. ὁ δέ „νουμηνία, φησίν, εἰς τὴν ἐπιοῦσαν ἐστίν, ἔθος
227 δέ μοι τῷ βασιλεῖ συνδειπνεῖν. ἐγὼ μὲν οὖν ἔξω τῆς πόλεως λανθάνων διαμενῶ, σὺ δ'
ἐπιζητήσαντος αὐτοῦ λέγε πορευθῆναί με εἰς Βηθλεὲμ ἑορτῆς ἀγομένης. κἂν μέν „ἐπ'
ἀγαθῷ βεβάδικεν" εἴπῃ, ἴσθι μηδὲν ὕπουλον εἶναι πρὸς ἐμὲ παρ' αὐτοῦ μηδ' ἐχθρόν· ἂν
228 δ' ἄλλως ἀποκρίνηται, τοῦτ' ἔσται τεκμήριον τῶν κατ' ἐμοῦ βεβουλευμένων. μηνύσεις δέ
229 μοι τὴν διάνοιαν τοῦ πατρός". ὁ δὲ ποιήσειν ἐπηγγείλατο ταῦτα καὶ μὴ ἀνήσειν ὤμνυε
230 231 πολλάκις διάπειραν λαμβάνων τῆς πατρικῆς προαιρέσεως, καταμαθὼν δὲ μὴ ἀποκρύψασθαι.
232 ἔστι δ' ὁ θεὸς μετὰ σοῦ καὶ ἀποκαλύψαι σε, ποιήσει δὲ τῶν ἐχθρῶν κρείττονα. σὺ δέ
μνημόνευε τούτων, κἂν ἀποθανεῖν με γένηται τέκνα μου σῷζε". φράζει δ' αὐτῷ εἴς τινα
234 τόπον ἀπελθεῖν τοῦ πεδίου, ἐν ᾧ γυμναζόμενος διατελεῖ. καὶ Δαυίδης μὲν εἰς τὸ συγκεί-
235 μενον ἀπηλλάγη χωρίον. τῇ νεομηνίᾳ δὲ ἁγνεύσας ὡς ἔθος εἶχεν ὁ βασιλεὺς ἧκεν ἐπὶ τὸ
236 δεῖπνον, καὶ ἰδὼν τὴν Δαυίδου καθέδραν κενὴν ἡσύχασεν. ὡς δὲ καὶ τῇ δευτέρᾳ τῆς νουμηνίας
οὐ παρῆν, ἐπυνθάνετο τοῦ παιδὸς Ἰωνάθου, ὅπως τοῦ δείπνου ὁ τοῦ Ἰεσσαίου παῖς ἀπολέ-
λειπται. ὁ δὲ πεπορεῦσθαι φησὶν αὐτὸν εἰς τὴν πατρίδα τῆς φυλῆς ἑορταζούσης, παρεκάλεσε
237 δὲ κἀμὲ ἐπὶ τὴν θυσίαν ἐλθεῖν καὶ εἰ συγχωρεῖς ἀπέρχομαι. ἐπὶ τούτοις οὐ κατέσχε τὴν ὀργὴν
Σάουλος, ἀλλὰ πολέμιον ἀπεκάλει τὸν υἱὸν καὶ κοινωνὸν τοῦ Δαυίδου καὶ συνεργόν.
238 „μετάπεμψαι τοιγαροῦν αὐτόν, ἔφη, ἵνα δῷ δίκην". ὑποτυχόντος δ' Ἰωνάθου, „τί δ'
ἀδικοῦντα κολάσαι θέλεις;" ἁρπάσας τὸ δόρυ ἀνεπήδησεν ἐπ' αὐτὸν ἀποκτεῖναι θέλων.
239 Ἰωνάθης δ' ἀποπηδήσας ἀπὸ τοῦ δείπνου διενυκτέρευσεν. ἅμα δ' ἡμέρᾳ πρὸ τῆς πόλεως
240 εἰς τὸ πεδίον ὡς γυμναζόμενος πρόεισι. καὶ τὸν μὲν ἑπόμενον εἰς τὴν πόλιν ἀπολύει
241 παῖδα, τῷ Δαυίδῃ δ' ἦλθεν εἰς ὄψιν, καὶ περιπλακέντες μακρὰ κατησπάζοντο καὶ δεδα-
κρυμένα. μόλις δ' ἐκ τῶν θρήνων ἀνανήψαντες καὶ μεμνῆσθαι τῶν ὅρκων ἀλλήλοις παρα-
242 κελευσάμενοι διελύθησαν. καὶ Δαυίδης φεύγων τὸν βασιλέα εἰς Ναβὰ παραγίνεται πόλιν
πρὸς Ἀβιμέλεχον τὸν ἀρχιερέα, ὃς μόνον ἥκοντα ἰδὼν ἐθαύμασε καὶ τὸ αἴτιον τοῦ μηδένα
243 συνεῖναι αὐτῷ μαθεῖν ἤθελεν. ὁ δὲ πρᾶξιν ἀπόρρητον ἐπιταγῆναι παρὰ τοῦ βασιλέως
ἔφη, εἰς ἣν συνοδίας αὐτῷ βουλομένῳ λαθεῖν οὐκ ἔδει· τοὺς δὲ θεράποντας εἰς τόνδε μοι
244 τὸν τόπον ἀπαντᾶν προσέταξα". ἠξίου δὲ λαβεῖν ἐφόδια. τυχὼν οὖν τούτων ᾔτει καὶ
ὅπλον τί μετὰ χεῖρας. παρὼν δ' ἔτυχε τότε Σαούλου δοῦλος Σύρος Δώηκος ὄνομα. ὁ δὲ
ἀρχιερεὺς ἔχειν μὲν αὐτὸν οὐδὲν εἶπε τοιοῦτον, εἶναι δὲ τὴν Γολιάθου ῥομφαίαν, ἣν ἀπο-
245 κτείνας ἐκεῖνον αὐτὸς ἀναθείη τῷ θεῷ. λαβὼν δὲ ταύτην Δαυίδης ἔξω τῆς Ἑβραίων χώρας
εἰς Γῆτταν ἔφυγεν, ἧς Ἀγχοῦς ἐβασίλευσεν. ἐπιγνωσθεὶς δὲ καὶ φανερὸς αὐτῷ γενόμενος
ὡς Δαυίδης ὁ πολλὰς ἀποκτείνας Παλαιστηνῶν μυριάδας εἴη, δείσας μὴ πρὸς αὐτοῦ θάνῃ

12 ἀνύσειν Henn. Busb. — ὤμνυε] ὤμ et spatium vacuum 4—5 litterarum Busb. — 14 ἀποκαλύψει] οὐκ ἀπολείψει Iosephus. — 15 φράζειν Busb. — 16 τὸ] τὸν man. 1 Busb. — 20 παρεκαλέσαι Henn. παρακαλέσαι Busb. — 22 δαυίδη man. 1 Busb. — 29 ναβὰν Henn. — 31 ἀπόρητον man. 1 Busb. — 37 ἐβασίλευεν Henn. — 38 ὡς om. Busb.



Zonaras I p. 114 Bonn.

προσποιεῖται μανίαν. ὁ δὲ βασιλεὺς Ἀγχοὺς τοῖς οἰκέταις προσδυσχεράνας ὡς ἔκφρονα 246
παρ' αὐτὸν ἄγουσιν, ἐκέλευσε Δαυίδην ὡς τάχος ἐκβαλεῖν. διασωθεὶς δ' οὗτος ἐκ τῆς 247
Γήττης εἰς τὴν Ἰούδα παραγίνεται φυλὴν καὶ ἐν τῷ πρὸς Ἀδηλάμῃ πόλει σπηλαίῳ διατρί-
βων πέμπει πρὸς τοὺς ἀδελφούς. οἱ δὲ μετὰ πάσης τῆς συγγενείας ἧκον πρὸς αὐτόν, καὶ
ἄλλοι δὲ συνερρύησαν πρὸς αὐτόν, ἐγένοντο δ' οἱ πάντες ὡς τετρακόσιοι. ἄρας δ' ἐκεῖθεν 248
σὺν αὐτοῖς ἀφικνεῖται πρὸς τὸν Μωαβιτῶν βασιλέα, τοὺς γονεῖς αὐτοῦ προσδέξασθαι
ἀξιῶν ἕως ἂν ἀπογνῷ καθ' ἑαυτὸν τέλος. κατανεύσαντος δὲ τὴν χάριν καὶ τιμῆς ἀξιώ-
σαντος παρ' ὅσον ἐτύγχανον παρ' αὐτῷ, αὐτὸς τοῦ προφήτου κελεύσαντος εἰς τὴν κληρου- 249
χίαν τῆς Ἰούδα διῆγε φυλῆς. Σάουλος δὲ ἀκούσας ὅτι μετὰ πλήθους ὀφθείη Δαυίδης εἰς 250
θόρυβον ἐνέπεσε καὶ συγκαλέσας τοὺς φίλους καὶ τοὺς ἡγεμόνας καὶ τὴν φυλὴν ἐξ ἧς ἦν 251
αὐτός „οἶδα, φησί, ὅτι πάντες τῷ Δαυίδῃ προστέθεισθε τοὐμοῦ παιδὸς Ἰωνάθου ὑμᾶς 252
ταῦτα πείσαντος· οὐ γὰρ ἀγνοῶ τοὺς ὅρκους καὶ τὰς συνθήκας τὰς πρὸς Δαυίδην γεγενη- 253
μένας. μέλει δ' ὑμῶν οὐδενὶ περὶ τούτων, ἀλλὰ τὸ ἀποβησόμενον ἡσυχάζοντες σκοπεῖτε".
ἐπὶ τούτοις μηδενὸς ἀποκριναμένου Δώηκος ὁ Σύρος εἶπεν, ὡς ἴδοι τὸν Δαυίδην πρὸς 254
Ἀβιμέλεχον ἐλθόντα τὸν ἀρχιερέα τά τε μέλλοντα παρ' αὐτοῦ μαθεῖν προφητεύσαντος καὶ
λαβόντα ἐφόδια καὶ τὴν ῥομφαίαν τοῦ Γολιάθου προπεμφθῆναι. μεταπεμψάμενος οὖν τὸν 255
ἀρχιερέα καὶ πᾶσαν τὴν γενεὰν αὐτοῦ Σάουλος „τί παθών, εἶπε, δεινὸν ἐξ ἐμοῦ τὸν Ἰεσσαίου
παῖδα προσεδέξω καὶ σιτίων αὐτῷ καὶ ὅπλων μετέδωκας ὄντι τῆς ἐμῆς ἐπιβούλῳ βασι-
λείας". ὁ δ' ἀρχιερεὺς ταῦτα παρασχεῖν ὡμολόγει· πολέμιον γὰρ οὐκ εἰδέναι Δαυίδην, 256
πιστὸν δ' ἐν τοῖς μάλιστα δοῦλον καὶ χιλίαρχον καὶ τὸ τούτων μεῖζον γαμβρόν, φήσαντι 257
δ' ὑπὸ σοῦ πεμφθῆναι κατὰ πολλὴν σπουδὴν ἐπὶ πρᾶξιν. ταῦτα λέγων ὁ ἀρχιερεὺς οὐκ 259
ἔπεισε τὸν Σάουλον, κελεύει δ' οὖν τοῖς ὁπλίταις περισταθεῖσιν αὐτὸν μετὰ τῆς γενεᾶς
ἀποκτεῖναι. εὐλαβουμένων δ' ἐκείνων ἅψασθαι τοῦ ἀρχιερέως, τῷ Σύρῳ Δωήκῳ προστάσσει
τὸν φόνον. καὶ παραλαβὼν ὁμοίους αὐτῷ πονηροὺς ἀπέκτεινε τὸν Ἀβιμέλεχον καὶ τὴν 260
γενεὰν ἐκείνου· ἦσαν δ' οἱ πάντες ὡς πεντακόσιοι καὶ τριάκοντα. πέμψας δὲ καὶ εἰς τὴν
πόλιν τῶν ἱερέων Νομβὰ πάντας αὐτοὺς ἀπέκτεινεν οὐ γυναικῶν οὐ νηπίων οὐδ' ἄλλης
ἡλικίας φεισάμενος, αὐτὴν δὲ ἐνέπρησε. διασώζεται δὲ παῖς Ἀβιμελέχου Ἀβιάθαρος ὄνομα. 261
ταῦτα μέντοι συνέβη, καθὼς προεῖπεν ὁ θεὸς τῷ ἀρχιερεῖ Ἠλεὶ διὰ τὰς τῶν υἱῶν αὐτοῦ
παρανομίας διαφθαρήσεσθαι τοὺς ἐγγόνους. ὁ δὲ διασωθεὶς Ἀβιάθαρος ὁ φυγὼν πρὸς 269
Δαυίδην τὴν τῶν οἰκείων αὐτῷ συμφορὰν ἐδήλωσε καὶ τὴν τοῦ πατρὸς ἀναίρεσιν. ἀκούσας 271
δὲ Δαυίδης τοὺς Παλαιστηνοὺς ἐμβεβληκότας εἰς τὴν Κελανῶν χώραν ἐξώρμησεν ἐπ' αὐτοὺς
μετὰ τῶν ἑταίρων τοῦ θεοῦ νίκην σημήναντος, καὶ φόνον τε αὐτῶν πολὺν ἔθετο καὶ λείαν
ἤλασε. καὶ παραμείνας τοῖς Κελανοῖς ἕως οὗ τὸν καρπὸν συνήλισαν ἀδεῶς μηνύεται τῷ 272
βασιλεῖ παρ' αὐτοῖς ὤν· ὁ δὲ τῷ λαῷ παντὶ προσέταξεν ἐπὶ τὴν Κελανῶν ἐξορμῆσαι καὶ 273
πολιορκήσαντι καὶ λαβόντι τὸν Δαυίδην ἀποκτεῖναι. ταῦτα δ' αἰσθόμενος ὁ Δαυίδης 274
ἀπῆρεν ἀπὸ τῆς πόλεως εἰς τὴν ἔρημον. ἐκεῖθεν δὲ εἰς τόπον τῆς Ζιφίνης Κενὴν λεγό- 275
μενον παραγίνεται, εἰς ὃν Ἰωνάθης συμβαλὼν αὐτῷ καὶ κατασπασάμενος θαρρεῖν καὶ
χρηστὰς ἔχειν ἐλπίδας παρεκάλει. οἱ δὲ Ζιφινοὶ χαριζόμενοι τῷ Σαούλῳ μηνύουσιν αὐτῷ 277

2 οὕτως Iosephus. — τάχους Busb. — 3 ἀδυλάμῃ Henn. — 8 ἀπέγνω m. 2 Busb. — 13 μέλλει Busb. Henn. — 28 προεῖπεν] προεφήτευσεν Iosephus. — 31 σικελανῶν et 33 σικελανοῖς m. 2 Busb. — 35 λαβόντι] ἑλόντι Iosephus.

Zonaras I p. 116 Bonn.

278 παρ' αὐτοῖς διατρίβειν τὸν Δαυίδην καὶ παραδώσειν ἔφασαν ἐλθόντι· ἐπαινέσας δ' αὐτοὺς
καὶ χάριν ὁμολογήσας ἔπεμψεν ζητήσοντας τὸν Δαυίδην, αὐτὸς δ' ἀκολουθήσειν ἀπεκρίνετο.
280 γνοὺς δὲ ὁ Δαυίδης τὴν τῶν Ζιφηνῶν κακοήθειαν καὶ τὴν τοῦ βασιλέως ἔφοδον ἐκλείπει
μὲν τὰ στενὰ τῆς ἐκείνων χώρας, φεύγει δ' ἐπὶ τὴν μεγάλην πέτραν τὴν οὖσαν ἐν τῇ
281 Σίμωνος ἐρήμῳ. ὁρμήσαντος δ' ἐπ' ἐκείνην τοῦ Σαούλου ἐπὶ τὸ ἕτερον μέρος τῆς πέτρας
ἀπῇρεν. ἀντιπεριέστησαν δὲ τὸν Σάουλον ἀπὸ τοῦ Δαυίδου μέλλοντος ἤδη συλλαμβάνεσθαι
282 εἰς τὴν χώραν οἱ Παλαιστηνοὶ ἐμβαλόντες· ἐπὶ γὰρ τούτοις ἀνέστρεψε. καὶ Δαυίδης
μὲν οὕτως ἐκ παραλόγου κίνδυνον διαφυγὼν εἰς τὰ στενὰ τῆς Ἐγγιδηνῆς ἀφικνεῖται·
Σαούλῳ δ' ἐκβαλόντι τοὺς Παλαιστηνοὺς ἦλθον ἀπαγγέλοντες τινὲς τὸν Δαυίδην ἐν τοῖς
283 Ἐγγιδίνης διατρίβειν ὅροις. λαβὼν οὖν τρισχιλίους ὁπλίτας ἐπ' αὐτὸν ἠπείγετο. ἐπειγό-
μενος δ' ὑπὸ τῶν κατὰ φύσιν ὁρᾷ παρὰ τὴν ὁδὸν σπήλαιον βαθὺ καὶ κοῖλον ἔνθεν
συνέβαινε τὸν Δαυίδην μετὰ τῶν τετρακοσίων κεκρύφθαι· καὶ εἴσεισιν εἰς αὐτὸ μόνος.
284 θεαθεὶς δ' ὑπό τινος ὑπεδείχθη τῷ Δαυίδῃ συμβουλεύοντος καιρὸν εὑρεῖν ἀμύνης καὶ κτεῖναι
285 αὐτόν· ἀναστὰς δὲ Δαυίδης ἀποτέμνει λάθρα τὴν πτέρυγα τοῦ ἱματίου Σαούλου. τοῦ δὲ
τὸ σπήλαιον ἐκλιπόντος προελθὼν ἀνέκραγεν. ἐπιστραφέντος δὲ τοῦ βασιλέως προσκυνεῖ
287 πεσὼν ἐπὶ πρόσωπον καὶ φησίν· „οὐ δεῖ, βασιλεῦ, πιστεύειν σε ψευδέσι διαβολαῖς καὶ
288 ζητεῖν τὴν ἐμὴν ἀναίρεσιν. ὅτι δὲ ψευδῆ τὰ κατ' ἐμοῦ ἀπόδειξις ἐναργὴς ἡ πτέρυξ τοῦ
289 ἱματίου“ καὶ ἅμα ἐπεδείκνυ τὸ ῥάκος „ὅτε γοῦν τοῦτο ἀπέτεμνον, τότε καὶ τὴν κεφαλὴν
ἠδυνάμην. ἀλλ' ἐγὼ μὲν ἀπεσχόμην δικαίας ἀμύνης, σὺ δ' οὐκ αἰδῇ μῖσος ἄδικον κατ' ἐμοῦ
290 τρέφων. θεὸς ταῦτα δικάσειε“. Σάουλος δ' ἐπὶ τῷ παραδόξῳ τῆς σωτηρίας θαυμάσας
ἀνῴμωξε· τὸ δ' αὐτὸ κἀκείνου ποιήσαντος, ἐμὲ στένειν εἶναι δίκαιον ἀπεκρίνατο· σὺ
291 μὲν γὰρ ἀγαθῶν αἴτιος ἐμοί, ἐγὼ δὲ σοὶ συμφορῶν. ἐπεδείξω δὲ καὶ σήμερον τοῦτο.
πέπεισμαι γοῦν, ὅτι σοι τὴν βασιλείαν ὁ θεὸς φυλάττει. δὸς δή μοι πίστεις ἐνόρκους μή
μου τὸ γένος ἐξαφανίσαι, τηρῆσαι δέ μου καὶ σῶσαι τὸν οἶκον“. ὁμόσαντος δὲ Δαυίδου
Σάουλος μὲν εἰς τὴν ἰδίαν ὑπέστρεψεν βασιλείαν, ὁ δὲ μετὰ τῶν σὺν αὐτῷ εἰς τὴν
292 Μασθηρῶν ἀνέβη στενήν. ἀποθνήσκει δὲ κατὰ τοῦτον τὸν καιρὸν καὶ Σαμούηλος
294 ὁ προφήτης, ἀνὴρ δίκαιος καὶ χρηστὸς καὶ διὰ τοῦτο φίλος τῷ θεῷ. ἦρξε δὲ καὶ προέστη
τοῦ λαοῦ μετὰ τὴν Ἠλεὶ τοῦ ἀρχιερέως τελευτὴν μόνος μὲν ἔτη δώδεκα, μετὰ δὲ Σαούλου
δέκα πρὸς τοῖς ὀκτώ.

295 Ἦν δέ τις τῶν Ζιφηνῶν πλούσιος· τρισχιλίων μὲν γὰρ αὐτοῦ ποίμνη προβάτων
296 ἐνέμετο, χιλίων δ' αἰγῶν. ταῦτα Δαυίδης ἀσινῆ τηρεῖν παρήγγελε τοῖς σὺν αὐτῷ. ταῦτα
δ' ἐνετέλλετο οἰόμενος ἀνθρώπῳ χαρίζεσθαι ἀγαθῷ. ἦν δὲ ὁ Νάβαλος, τοῦτο γὰρ ἐκαλεῖτο,
297 σκληρὸς καὶ πονηρὸς γυναικὸς ἀγαθῆς καὶ σώφρονος καὶ τὸ εἶδος σπουδαίας λελογχώς. πρὸς
αὐτὸν γοῦν πέμψας, ὅτε τὰ πρόβατα ἔκειρεν, ἀσπάζεται καὶ ἐπεύχεται τοῦτο ποιεῖν ἐπ' ἔτη
298 πολλὰ καὶ παρασχεῖν ἐξ ὧν δύναιτο παρεκάλει. ὁ δὲ ἀπανθρώπως ἀπήντησε καὶ σκληρῶς
299 „νῦν ἄρα, εἰπών, μέγα φρονοῦσιν ἐφ' ἑαυτοῖς οἱ δραπέται“. ὀργίζεται ταῦτα μαθὼν ὁ
Δαυίδης καὶ ὀμόσας ἐκείνῃ τῇ νυκτὶ τὸν οἶκον ὅλον αὐτοῦ ἀφανίσαι πρὸς αὐτὸν ἐβάδιζε
300 μετὰ υ' ὡπλισμένων. δούλου δὲ τινος πρὸς τὴν γυναῖκα Ναβάλου κατειπόντος τοῦ κυρίου
περὶ ὧν ἐβλασφήμησε Δαυίδην πάσῃ φυλακῇ περὶ αὐτοὺς χρησάμενον καὶ τὰ ποίμνια, ἡ

7 τούτους Iosephus. — 11 ἔνθα Iosephus. — 13 εὑρεῖν] ἔχειν Iosephus. — 31 ἐνετέλλετο] ἐδίδασκεν Iosephus. — ἀνθρώπῳ] δ' ἀνθρώπω Busb. — 32 ἐκαλεῖτο] εἶχεν ὄνομα Iosephus.



Zonaras I p. 117 Bonn.

Ἀβιγαία, τοῦτο ὠνόμαστο, ἐπισάξασα τοὺς ὄνους καὶ πληρώσασα παντοίων ξενίων ἐπορεύετο 301
πρὸς Δαυίδην μηδὲν εἰποῦσα τἀνδρί. καταβαινούσῃ δὲ τὰ στενὰ τοῦ ὄρους ἀπήντησε
Δαυίδης. ἡ δὲ πεσοῦσα ἐπὶ πρόσωπον προσεκύνησε καὶ τῶν μὲν Ναβάλου λόγων ἐδεῖτο 302
μὴ μνημονεύειν ὄντος κατὰ τὸ ὄνομα· Νάβαλος γὰρ ἀφροσύνην δηλοῖ· συγγνῶναι δ' αὐτῇ 303
καὶ δέξασθαι τὰ κομιζόμενα ἀφεῖναί τε τὴν ὀργήν. ὁ δὲ τὰ δῶρα λαβὼν ἀπολύει τὴν 305 306
γυναῖκα καὶ τὸν θυμὸν ἀφῆκεν. ἡ δὲ εἰς τὸν οἶκον ἐλθοῦσα πάντα τε δηλώσασα τῷ ἀνδρὶ
παρεθῆναι αὐτὸν ὑπὸ τῆς λύπης ἐποίησε· καὶ δέκα οὐ πλείους ἐπιζήσας ἡμέρας τὸν
βίον κατέστρεψε. ἀκούσας δὲ Ναβάλου τὴν τελευτὴν ὁ Δαυίδης ἐκδικηθῆναι ὑπὸ τοῦ 307
θεοῦ ἔλεγεν, πέμψας δὲ πρὸς τὴν γυναῖκα αὐτοῦ ἐκάλει πρὸς ἑαυτόν· ἡ δὲ ἀναξία μὲν 308
εἶναι ἔλεγεν, ὅμως δὲ μετὰ πάσης τῆς ἰδίας θεραπείας ἐλήλυθε καὶ συνῴκησεν αὐτῷ.
μετὰ ταῦτα τινὲς ἐλθόντες τῶν Ζιφηνῶν ἀπήγγειλαν Σαούλῳ, ὡς εἴη πάλιν Δαυίδης ἐν τῇ 310
χώρᾳ αὐτῶν. ὁ δὲ μετὰ τρισχιλίων ὁπλιτῶν ἐβάδιζεν ἐπ' αὐτὸν καὶ ἐστρατοπέδευσεν ἔν
τινι τόπῳ Σάκελλα λεγομένῳ. Δαυίδης δὲ τοῦτο μαθὼν διανυκτερεύει καὶ λαθὼν τοὺς 311
ἰδίους· εἰς τὸ τοῦ Σαούλου στρατόπεδον παραγίνεται ἐπαγόμενος Ἀβισαῖον καὶ Ἀβιμέλεχον
τὸν Χετταῖον. τοῦ δὲ Σαούλου κοιμωμένου καὶ περὶ αὐτὸν ἄλλων τε καὶ τοῦ στρατηγοῦ 312
Ἀβεννήρου κειμένων, ὁ Δαυίδης οὔτ' αὐτὸς ἀναιρεῖ Σάουλον οὔτε τὸν Ἀβισαῖον ὡρμηκότα
πρὸς τοῦτο εἴασε, σύμβολον δὲ τοῦ φείσασθαι αὐτοῦ ἀποκτεῖναι δυνάμενος λαβὼν αὐτοῦ 313
τὸ δόρυ καὶ τὸν φακὸν τοῦ ὕδατος παρ' αὐτῷ κείμενον, μηδενὸς αἰσθομένου ἐξῆλθεν.
ἀνελθὼν δ' ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους ἐμβοήσας τοῖς στρατιώταις καὶ τῷ στρατηγῷ 314
Ἀβεννήρῳ διανίστησιν αὐτοὺς ἐκ τοῦ ὕπνου. τοῦ δὲ στρατηγοῦ τίς ἐστιν ὁ καλέσας αὐτὸν
ἐρομένου Δαυίδης εἶπεν· „ἐγώ· ἀλλὰ τί δήποτε οὕτως ἀμελῶς τὸ τοῦ βασιλέως φυλάσσεις 315
σῶμα; οἵ γε μικρὸν ἔμπροσθεν εἰσελθόντας τινὰς εἰς τὸ στρατόπεδον ἐπὶ τὸν βασιλέα
οὐκ ἐνοήσατε. ζήτησον οὖν τὸ δόρυ τοῦ βασιλέως καὶ τὸν φακὸν τοῦ ὕδατος καὶ μαθήσῃ,
πηλίκον ὑμᾶς ἔλαθε κακὸν ἐντὸς γενόμενον“. Σάουλος δὲ γνωρίσας τὴν Δαυίδου φωνὴν 316
καὶ μαθών, ὡς ἐφείσατο αὐτοῦ δικαίως ἂν αὐτὸν ἀνελών, χάριν τῆς σωτηρίας ἔλεγεν αὐτῷ
θαρροῦντα καὶ μηδὲν δεινὸν ἔτι πείσεσθαι φοβούμενον ἐξ αὐτοῦ ἀναχωρήσειν ἐπὶ τὰ
οἰκεῖα. Δαυίδης δὲ πέμψαντα τὸ δόρυ λαβεῖν ἐκέλευσε καὶ τὸν φακὸν ἐπειπὼν „ὁ θεὸς 318
ἔσται δικαστὴς ἑκατέρῳ“. φοβηθεὶς δὲ μὴ μένων αὐτόθι συλληφθῇ, μετὰ ἑξακοσίων, οἳ 319
περὶ αὐτὸν ἦσαν, παραγίνεται πρὸς Ἀγχοῦς τὸν Γήττης βασιλέα. δεξαμένου δ' αὐτὸν 320
ἐκείνου διῆγεν ἐν Γήττῃ ἔχων καὶ τὰς δύο γυναῖκας Ἀχιμὰν καὶ Ἀβιγαίαν. εἶτα δέεται τοῦ 321
Ἀγχοῦς τόπον τινὰ τῆς χώρας δοῦναι αὐτῷ εἰς κατοίκησιν, ἵνα μὴ φορτικὸς εἴη διατρίβων
ἐν τῇ πόλει. δίδωσιν Ἀγχοῦς αὐτῷ κώμην τινὰ Σεκέλλαν λεγομένην, ἐν ᾗ μῆνας κατῴκησε 322
τέσσαρας καὶ ἡμέρας εἴκοσι.

Τῶν δὲ Παλαιστηνῶν ἐπὶ τοὺς Ἰσραηλίτας στρατεύειν διεγνωκότων Ἀγχοῦς συμμα- 325
χῆσαι αὐτῷ τὸν Δαυίδην μετὰ τῶν ἰδίων ὁπλιτῶν ἐκέλευεν. ὁ δὲ προθύμως ὑπέσχετο. 326
Σάουλος δὲ τοὺς Παλαιστηνοὺς ἀκούσας ἤδη παρόντας ἐξώρμησεν ἐπ' αὐτοὺς μετὰ τῆς 327
δυνάμεως. ταράττει δ' αὐτὸν ἡ τῶν ἐχθρῶν δύναμις, καὶ τὸν θεὸν διὰ τῶν προφητῶν 328
ἠρώτα περὶ τῆς μάχης καὶ τοῦ τέλους αὐτῆς. οὐκ ἀποκρινομένου δὲ τοῦ θεοῦ ἔτι μᾶλλον 329

1 ὠνόμαστο] προσηγορεύετο Iosephus. — 3 ναβούλου cod. Busb. — 5 λαβών] δεξάμενος Iosephus. — 10 ἐλήλυθε] ἧκε Iosephus. — 13 μαθών] ἀκούσας Iosephus. — 17 σύμβουλον man. 1 Busb. — 32 λεγομένην] καλουμένην Iosephus. — 34 συμμαχήσειν Henn. et man. 2 Busb.

Zonaras I p. 121 Bonn.

378 πανδημεὶ κλαύσαντες θάπτουσιν αὐτά. τοῦτο Σαοῦλος τέλος ἔσχε διὰ τὸ παρακοῦσαι τῶν
ἐπ' Ἀμαληκίταις ἐντολῶν τοῦ θεοῦ, καὶ ὅτι τὸν ἀρχιερέα Ἀβιμέλεχον καὶ τὴν γενεὰν αὐτοῦ
καὶ τὴν πόλιν αὐτῶν ἀνεῖλεν. ἐβασίλευσε δὲ Σαμουήλου ζῶντος ἔτη ὀκτὼ πρὸς τοῖς δέκα,
τελευτήσαντος δ' ἐκείνου δύο καὶ εἴκοσι.

## Φλαυίου Ἰωσήπου Ἰουδαϊκῆς ἀρχαιολογίας λόγος ἕβδομος.

Ἤδη δὲ τοῦ Δαυίδου ἐν Σεκέλλα μετὰ τὴν νίκην ἀναστρέψαντος τῶν Ἀμαληκιτῶν
2 παραγίνεται πρὸς αὐτὸν ὁ τὸν Σάουλον ἀνελὼν τὴν ἐσθῆτα περιερρηγμένος, τήν τε τῶν
Ἑβραίων ἧτταν μηνύων καὶ τὴν τοῦ βασιλέως ἀναίρεσιν διαβεβαιούμενος, ὡς αὐτὸς ὢν ὁ
3 τοῦτον ἀνελὼν ὑπ' ἐκείνου παρακληθεὶς μέλλοντος ὑπὸ τῶν πολεμίων λαμβάνεσθαι.
4 καὶ τόν τε παρὰ τοῖς βραχίοσι τοῦ βασιλέως χρυσὸν καὶ τὸν στέφανον ἐπεδείκνυε καὶ
ἐδίδου τῷ Δαυίδῃ. ὁ δὲ τὸν Σαούλου καὶ τῶν αὐτοῦ παίδων μαθὼν θάνατον καταρρη-
5 γνύει τὴν ἐσθῆτα κλαίων μετὰ τῶν ἑταίρων ὅλην τὴν ἡμέραν, μᾶλλον δέ γε διὰ Ἰωνάθην
6 πιστότατον ὄντα φίλον αὐτῷ. ἐκόλασε δὲ καὶ τὸν ἀνελόντα Σάουλον καὶ ἔγραψε θρήνους
7 καὶ ἐπιταφίους ἐπαίνους Σαούλου καὶ Ἰωνάθου, οἳ καὶ μέχρις ἐμοῦ διαμένουσι. πανσά-
μενος δὲ τοῦ πένθους ἤρετο τὸν θεόν, τίνα δίδωσιν αὐτῷ κατοικῆσαι πόλιν. φήσαντος δὲ
διὰ τοῦ προφήτου διδόναι Γιβρῶνα τῆς Ἰούδα φυλῆς, καταλιπὼν τὴν Σέκελλαν εἰς ἐκείνην
8 παραγίνεται σὺν ταῖς γυναιξὶ καὶ τοῖς ὁπλίταις. καὶ βασιλεὺς παρὰ τῆς Ἰούδα φυλῆς
ἀποδείκνυται. πέμπει δὲ καὶ ἐν Ἰαβισῷ, ἐπαινῶν αὐτοὺς ὅτι θάψειαν Σάουλον καὶ τοὺς
παῖδας αὐτοῦ, ἅμα δὲ καὶ δηλῶν ὅτι ἡ Ἰούδα φυλὴ κεχειροτόνηκεν αὐτὸν βασιλέα.
9 Ὁ δὲ τοῦ Σαούλου στρατηγὸς Ἀβέννηρος ἀνὴρ ἀγαθὸς καὶ δραστήριος τὴν φύσιν, ὡς
ἔγνω πεσόντος τοῦ βασιλέως καὶ τῶν τριῶν παίδων αὐτοῦ, τὸν περιλειπόμενον ἐξαρ-
πάσας υἱὸν αὐτοῦ Ἰέβοσθον παντὸς ἀποδείκνυσι τοῦ πλήθους βασιλέα πάρεξ τῆς Ἰούδα
10 φυλῆς. ὥρμησε δὲ Ἀβέννηρος μετὰ στρατιᾶς ἐπιλέκτου κατὰ τῆς Ἰούδα φυλῆς, ὅτι ἐβασί-
11 λευσε τὸν Δαυίδην. ἀπήντησε δ' αὐτὸν μετὰ τῶν ὁπλιτῶν Ἰώαβος ἀρχιστράτηγος ὢν
12 Δαυίδου, καὶ παρατάσσονται πρὸς μάχην ἐν Γαβαών. καὶ πρότερον μὲν δυοκαίδεκα παρ'
13 ἀμφοτέρων μονομαχῆσαι ἠρέθισαν, πεσόντων δὲ τούτων πάντων συνέρρηξε καὶ ἡ λοιπὴ
στρατιά· ἡττήθησαν δ' οἱ τοῦ Ἀβεννήρου, καὶ τραπέντων ἐδίωκεν ὁ Ἰώαβος καὶ οἱ ὁπλῖται
14 καὶ οἱ ἀδελφοὶ δὲ Ἰωάβου Ἀβεσσαῖος καὶ Ἀσάηλος προθύμως ἠγωνίσαντο, καὶ μάλιστα ὁ
νεώτερος Ἀσάηλος, ὃς καὶ ἐπὶ ποδῶν ὠκύτητα κλέος εἶχεν· οὐ γὰρ ἀνθρώπους ἐνίκα μόνον,
15 ἀλλὰ καὶ ἵππους λέγεται παραδραμεῖν. οὗτος ἐδίωκε τὸν Ἀβέννηρον. ἐπιστραφέντος δ'
ἐκείνου καὶ μὴ διώκειν παραινοῦντος, ὡς οὐκ ἐπείθετο φεύγων ὁ Ἀβέννηρος πλήξας εἰς
16 τοὐπίσω καιρίως παραχρῆμα ἀπέκτεινεν. ὁ δὲ Ἰώαβος καὶ ὁ Ἀβεσσαῖος ὑπ' ὀργῆς τῆς τοῦ
17 ἀδελφοῦ σφαγῆς σπουδαίως ἐδίωκον τὸν Ἀβέννηρον. περὶ δυσμὰς δὲ ἡλίου ἀνακεκρα-
γότος τοῦ Ἀβεννήρου καὶ φήσαντος, μὴ δεῖν ἄνδρας ὁμοφύλους εἰς μάχην παροξύνειν,
ἁμαρτεῖν γὰρ τὸν Ἀσάηλον, ὃς παραινοῦντος μὴ διώκειν οὐκ ἐπείσθη καὶ διατοῦτο βληθεὶς
ἀπέθανε, παράκλησιν ἡγησάμενος τοὺς λόγους Ἰώαβος ἀνακαλεῖται τοὺς στρατιώτας τῇ

10 παρὰ] περὶ Iosephus. — 13 ἀνελόντα] ἀποκτείναντα Iosephus. — 22 Ἰέβοσθον, inter ο et σ ras. 1 litt. Busb. — 32 καιρίως] καὶ καιρίως man. 1 Busb. — 34 περὶ] παρὰ Henn. et m. 1 Busb. — 45 τὸν] καὶ τὸν Henn.



Zonaras I p. 123 Bonn.

σάλπιγγι καὶ τῆς διώξεως ἐπέσχεν. Ἀβέννηρος δὲ δι' ὅλης τῆς νυκτὸς ὁδεύσας ἀφικνεῖται 18
εἰς τὸν Σαούλου παῖδα Ἰεβοσθόν. τὸ δὲ Ἀσαήλου σῶμα κομίσαντες οἱ ἀδελφοὶ εἰς 19
Βηθλέμην ἔθαψαν καὶ πρὸς Δαυίδην παρεγένοντο. ἤρξατο δ' ἔκτοτε παρ' Ἑβραίοις ἐμφύλιος 20
πόλεμος καὶ διέμεινεν ἄχρι πολλοῦ, τῶν μὲν Δαυίδου εὐδοκιμούντων, τῶν δὲ Σαούλου
ἐλαττουμένων.

Ἐγένοντο δὲ Δαυίδῃ παῖδες ἓξ ἐκ γυναικῶν τοσούτων, ὧν ὁ μὲν πρεσβύτερος ἐκ 21
γυναικὸς Ἀχιμᾶς Ἀμνῶν ἐκλήθη, ὁ δὲ δεύτερος ἐξ Ἀβιγαίας Δανίηλος, τῷ τρίτῳ δ' ἐκ
Μαχάμης φύντι τῆς θυγατρὸς τοῦ Γεσιρῶν βασιλέως Ἀβεσάλωμος ὄνομα, τὸν δέ γε τέταρτον
Ἀδωνίαν ἐκ γυναικὸς Ἀγγίθης προσηγόρευσε, τὸν πέμπτον δὲ Σαφατίας τῆς Ἀβιτάλης καὶ
τὸν ἕκτον Ἰεθρόαν τῆς Αἴγλης. Ἀβέννηρος δὲ ὁ τοῦ Σαούλου παιδὸς ἀρχιστράτηγος εὔνουν 22
ἔχων τὸ πλῆθος πάντας συμμεῖναι τῷ Ἰεβοσθῷ παρεσκεύασε· καὶ διέμενον ἐφ' ἱκανόν.
ὕστερον δ' αἰτίαν λαβών, ὡς συνέλθῃ Σαούλου παλλακῇ, καὶ μεμφθεὶς ὑπὸ Ἰεβοσθοῦ 23
περιαλγήσας ἠπείλησεν εἰς Δαυίδην περιστήσειν τὴν βασιλείαν, καὶ πέμψας εἰς Χεβρῶνα 24
λαβεῖν ὅρκους τε καὶ πίστιν ἠξίου τὸν Δαυίδην ἕξειν αὐτὸν ἑταῖρον ἀναπείσαντα τὸν
λαὸν τοῦ Σαούλου μὲν ἀποστῆναι παιδός, αὐτὸν δὲ ἀποδεῖξαι πάσης τῆς χώρας βασιλέα.
τοῦ δὲ Δαυίδου ποιησαμένου τὰς ὁμολογίας καὶ τεκμήριον παρασχεῖν τῶν συνθηκῶν 25
ἀξιώσαντος ἀνασώσαντα πρὸς αὐτὸν Μελχάλην τὴν γυναῖκα, πέμπει μὲν αὐτῷ ταύτην 26
ἀποσπάσας Ὀφέλτου, ᾧ ταύτην Σάουλος μετὰ τὴν Δαυίδου φυγὴν συνῴκισε, συγκαλέσας δὲ
τοὺς γηραιοὺς τοῦ πλήθους καὶ ταξιάρχους καὶ χιλιάρχους ἑτοίμως ἔχοντας εἶπε πρώην Δαυίδῃ 27
συνθέσθαι αὐτὸς ταύτης ἀποστρέψειε τῆς ὁρμῆς, νῦν δ' ἐπιτρέπει χωρεῖν ᾗ βούλονται· ταῦτα 28
ἀκούσαντες τὰ Δαυίδου φρονεῖν μετεβάλοντο. συγκαλεῖ δ' ὁ Ἀβέννηρος καὶ τοὺς τῆς 29
Βενιαμίτιδος φυλῆς Ἰεβοσθῷ σωματοφύλακας ὄντας, καὶ τὰ αὐτὰ πρὸς αὐτοὺς διαλεχθείς,
ἐπεὶ προστιθεμένους οἷς ἐβούλετο ἔγνω, παραλαβὼν εἴκοσι τῶν ἑταίρων ἧκε πρὸς Δαυίδην
τοὺς ὅρκους παραληψόμενος καὶ τὰ πραχθέντα σημανῶν. ὑποδεχθεὶς δὲ φιλοφρόνως καὶ 30
λαμπρῶς ξενισθεὶς ἐπὶ συχνὰς ἡμέρας ἠξίωσεν ἀφεθεὶς ἀγαγεῖν τὸ πλῆθος. ἐκπέμψαντος 31
δὲ τοῦ Δαυίδου τὸν Ἀβέννηρον ἧκεν εἰς Γιβρῶνα Ἰώαβος, καὶ μαθών, ὡς ἐλθὼν Ἀβέννηρος
μικρὸν πρόσθεν ἀπήλλακται ἐπὶ συνθήκαις καὶ ὁμολογίαις, δείσας μὴ τῇ ἐκείνου παρουσίᾳ
ἐλαττωθείη αὐτός, πρῶτον μὲν διαβάλλει αὐτὸν πρὸς Δαυίδην. ὡς δ' οὐκ ἔπειθε, κρίνας 32 33
Ἀβέννηρον ἀποκτεῖναι πέμπει τοὺς ἐπιδιώξοντας καὶ ὡς ἐκ Δαυίδου καλέσοντας. Ἀβέννηρος 34
δ' ὡς ἤκουσε τὰ παρὰ τῶν ἀγγέλων, ὑπέστρεψεν. ὑπαντήσας δ' αὐτῷ ὁ Ἰώαβος καὶ δεξιού-
μενος ὡς εὔνους καὶ φίλος ἀποσπᾷ μὲν τῶν οἰκείων αὐτὸν ὡς ἐν ἀπορρήτῳ διαλεξόμενος, 35
παραγαγὼν δὲ εἰς τὸ ἐρημότερον μόνος σὺν Ἀβεσαίῳ τῷ ἀδελφῷ σπασάμενος τὴν μάχαιραν
ὑπὸ τὸν λαγόνα παίει. καὶ τελευτᾷ Ἀβέννηρος οὕτως ἐνεδρευθεὶς ὑπὸ Ἰωάβου, προφάσει 36
μὲν ὡς τιμωροῦντος τῷ ἀδελφῷ Ἀσαήλῳ, ὃν διώκοντα ἀπέκτεινε, τῇ δ' ἀληθείᾳ δείσαντος
ἐπὶ τῇ στρατηγίᾳ καὶ τῇ παρὰ βασιλεῖ τιμῇ. Δαυίδης δὲ ἀκούσας ἀνῃρῆσθαι Ἀβέννηρον 39
ἤλγησε τὴν ψυχὴν καὶ ἐμαρτύρετο τὸν θεὸν ὀμνύς, ὡς οὔτε κοινωνὸς εἴη τῆς ἐκείνου
σφαγῆς οὔτε κατὰ βούλησιν αὐτοῦ ἀποθάνοι, καὶ ἀρὰς κατὰ τοῦ πεφονευκότος αὐτὸν
ἐτίθετο· ἔμελλε γὰρ αὐτῷ μὴ δοκεῖν τοὺς ὅρκους παραβῆναι, οὓς ἔδωκεν Ἀβεννήρῳ. ἔθαψε 40 42

2 εἰς] πρὸς Iosephus. — 9 Σαφατίαν Iosephus. — 11 διέμενον, inter ε et ν una litt. eras. Busb. — 12 συνέλθοι Iosephus. — παλακῇ man. 1 Busb. — 23 ἔγνω] ἑώρα Iosephus. — 38 ἔμελε Iosephus.

Zonaras I p. 124 Bonn.

δ' αὐτὸν μεγαλοπρεπῶς καὶ ἐπιταφίους συνεγράψατο θρήνους, οὐδ' ἐγεύσατο τροφῆς ἄχρις
46 ἡλίου δυσμῶν. ἀκούσας δὲ τὴν Ἀβεννήρου τελευτὴν ὁ Ἰεβοσθὸς οὐ πρᾴως ἤνεγκεν, ἀλλ'
ὑπερεπάθησεν. ἐπεβίω δὲ οὐδ' αὐτὸς πολὺν χρόνον, ἀλλ' ὑπὸ τῶν Ἐρεμμῶνος υἱῶν
47 Βανασθάνου καὶ Βαήβου Βενιαμιτῶν ὄντων ἐπιβουλευθεὶς ἀπέθανε λογισαμένων μεγάλων
48 διατοῦτο παρὰ Δαυίδου τεύξεσθαι δωρεῶν. οὗτοι γὰρ μόνον αὐτὸν εὑρόντες μεσημβρί-
49 ζοντα καὶ κοιμώμενον λαθόντες παρῆλθον εἰς τὸ δωμάτιον καὶ κτείνουσιν αὐτόν. καὶ τὴν
κεφαλὴν ἀποτεμόντες εἰς Γιβρῶνα παρεγένοντο· καὶ ταύτην ἐπιδείξαντες Δαυίδῃ συνίστων
50 ἑαυτοὺς εὔνους. ὁ δ' εἶπεν, „ὦ κάκιστοι, οὐκ ἔγνωτε πῶς τὸν Σαούλου φονέα ἠμυνάμην,
52 καὶ ταῦτα ἐκείνῳ χαριζόμενον, ἵνα μὴ ζῶντα συλλάβωσιν αὐτὸν οἱ πολέμιοι; κολασθέντες
οὖν ἐκείνῳ μὲν δώσετε ποινήν, ἐμοὶ δὲ δίκην νομίσαντες ἡδέως ἕξειν με τῇ τοῦ Ἰεβοσθοῦ
τελευτῇ“. ταῦτ' εἰπὼν καὶ αἰκισάμενος αὐτοὺς διεχρήσατο, τὴν δὲ Ἰεβοσθοῦ κεφαλὴν
τιμήσας ἐκήδευσεν.

53 Ἧκον δ' ἅπαντες οἱ τοῦ λαοῦ τῶν Ἑβραίων πρῶτοι πρὸς Δαυίδην οἵ τε χιλίαρχοι καὶ
54 ἡγεμόνες καὶ παρέδωκαν ἑαυτούς. ὁ δὲ τῆς προθυμίας ταύτης αὐτοὺς ἀποδεξάμενος καὶ
κατευωχήσας καὶ φιλοφρονησάμενος ἔπεμψε τὸν λαὸν παρ' αὐτὸν ἄξοντας ἅπαντα καὶ
55 60 συνῆλθον τὸ πλῆθος πρὸς Δαυίδην εἰς Γιβρῶνα καὶ μιᾷ γνώμῃ βασιλεύειν αὐτὸν ἐκύρωσαν,
καὶ ἐπὶ τρεῖς ἡμέρας ἑορτάσαντος τοῦ λαοῦ καὶ κατευωχηθέντος ἄρας ἐκεῖθεν ὁ βασιλεὺς
61 μετὰ πάντων ἧκεν εἰς Ἱεροσόλυμα. τῶν δὲ τὴν πόλιν οἰκούντων Ἰεβουσαίων, γένος δ' εἰσὶ
Χαναναίων, ἀποκλεισάντων τὰς πύλας καὶ τοὺς πεπηρωμένους τὰς ὄψεις καὶ τὰς βάσεις
καὶ πᾶν τὸ λελωβημένον ἐπὶ χλεύῃ στησάντων ἐπὶ τοῦ τείχους καὶ λεγόντων κωλύειν
62 αὐτὸν εἰσελθεῖν τοὺς ἀναπήρους, ὀργισθεὶς πολιορκεῖν ἤρξατο. καὶ πολλῇ προθυμίᾳ
63 χρησάμενος λαμβάνει κατὰ κράτος τὴν κάτω πόλιν. ἔτι δὲ τῆς ἄκρας λειπομένης τιμῆς
ὑποσχέσει καὶ γερῶν προθυμοτέρους τοὺς στρατιώτας ἐποίησε, τῷ ἐπὶ τὴν ἄκραν ἀναβάντι
64 καὶ ταύτην ἑλόντι στρατηγίαν δώσειν ἐπαγγειλάμενος. πάντων δὲ φιλοτιμουμένων ἀναβῆναι
ὁ Ἰώαβος ἔφθη τοὺς ἄλλους καὶ ἀναβὰς ἐβόησε πρὸς τὸν βασιλέα τὴν στρατηγίαν ἀπαιτῶν.
65 ἐκβαλὼν δὲ τοὺς Ἰεβουσαίους ἐκ τῆς ἄκρας καὶ ἀνοικοδομήσας τὰ Ἱεροσόλυμα πόλιν
Δαυίδου προσηγόρευσε, καὶ ἐν αὐτῇ διέτριβεβα σιλεύων. ὁ δὲ χρόνος, ὃν τῆς Ἰούδα φυλῆς
66 ἦρξε μόνης, ἐγένετο ἔτη ἑπτὰ καὶ μῆνες ἕξ. ἀπέδειξε δὲ βασίλειον τὰ Ἱεροσόλυμα τήν τε
ἄνω πόλιν παραλαβὼν καὶ τὴν ἄκραν συνάψας αὐτῇ ἐποίησεν ἓν σῶμα περιτειχίσας.
65 66 κατεσκεύασε δὲ καὶ βασίλειον Εἰρώμου τοῦ τῶν Τυρίων βασιλέως πέμψαντος αὐτῷ
67 ξύλα κέδρινα τέκτονάς τε καὶ οἰκοδόμους φιλίαν τε συνθεμένου καὶ συμμαχίαν. πρῶτος
οὖν Δαυίδης τοὺς Ἰεβουσαίους ἐξ Ἱεροσολύμων ἐκβαλὼν ἀφ' ἑαυτοῦ προσηγόρευσε τὴν
πόλιν ἐπὶ Ἀβράμου Σόλυμα καλουμένην.

71 72 Οἱ δὲ Παλαιστηνοὶ στρατεύουσιν ἐπὶ Δαυίδην εἰς Ἱεροσόλυμα. ὁ δὲ τὸν θεὸν διὰ
73 τοῦ ἀρχιερέως ἠρώτα, τί αὐτῷ περὶ τῆς μάχης δοκεῖ. προφητεύσαντος δὲ νίκην καὶ κράτος
ἐξάγει τὴν δύναμιν καὶ γενομένης συμβολῆς αὐτὸς κατόπιν αἰφνιδίως ἐπιπεσὼν τοῖς
75 πολεμίοις τοὺς μὲν ἔκτεινε, τοὺς δὲ εἰς φυγὴν ἐτρέψατο. ἡττηθέντες δ' ἐν ταύτῃ τῇ
76 μάχῃ αὖθις ἐπῆλθον τριπλάσιος στρατὸς κατὰ Δαυίδου. πάλιν δ' ἐρομένου τὸν θεὸν περὶ

3 ἐρεμμῶτος Busb. — 13 οὔτε χιλίαρχοι καὶ ἡγεμόνες] Iosephus οἵ (ὅς Henn.) χιλίαρχον καὶ ἡγεμόνα (post οἵ (ὅς) spatium vacuum 4—5 litt.) Busb. Henn. — 19 καὶ ante τὰς iterat Busb. — 23 ἐποίησε] παρασκευάσαι Iosephus. — 28 μόνος Busb. — 30 καὶ iterat in confinio paginarum Busb. — 33 ἀβραάμ Henn. — 38 ἐρομένου, ante μ una litt. eras. Busb.



Zonaras I p. 125 Bonn.

τῆς μάχης προφητεύει ὁ ἀρχιερεὺς ἐν τοῖς ἄλσεσι τοῖς καλουμένοις Κλαυθμῶσι κατέχειν
τὴν στρατιὰν οὐκ ἄποθεν οὖσι τοῦ τῶν πολεμίων στρατοπέδου, μὴ πρότερον δ' ἄρχεσθαι
πρὶν τὰ ἄλση σαλεύεσθαι μὴ πνέοντος ἀνέμου. ὡς δὲ ἐσαλεύθη τὰ ἄλση, μηδὲν ἐπισχὼν 77
ὥρμησε κατὰ τῶν πολεμίων. οἱ δὲ αὐτὸν οὐχ ὑπέμειναν, ἀλλ' ἅμα τῆς συμβολῆς τρέπονται
καὶ διώκων αὐτοὺς ἄχρι τῶν ὅρων τῆς χώρας αὐτῶν ἔκτεινε. διαρπάσας δὲ αὐτῶν τὴν
παρεμβολὴν καὶ πολὺν εὑρὼν πλοῦτον καὶ τοὺς θεοὺς αὐτῶν διέφθειρεν. εἶτα βουλευσάμενος 78
μετὰ τῶν γερόντων καὶ ἡγεμόνων καὶ χιλιάρχων καὶ τῶν ὁμοφύλων τοὺς ἐν ἀκμῇ τῆς ἡλικίας ἐξ
ἁπάσης συναγαγὼν τοὺς ἱερεῖς τε καὶ Λευίτας παραγίνεται εἰς Καριαθιαρείμ. καὶ βαστά- 79
σαντες τὴν κιβωτὸν ἐκ τῆς Ἀμιναδάμου οἰκίας οἱ ἱερεῖς καὶ ἐπιθέντες ἐφ' ἅμαξαν καινὴν
ἕλκειν ἀδελφοῖς τὲ καὶ παισὶν ἐπέτρεψαν μετὰ τῶν βοῶν. προῆγε δὲ σὺν αὐτοῖς ὁ 80
βασιλεὺς καὶ πᾶν τὸ πλῆθος ᾄδοντες πᾶν εἶδος μέλους ἐπιχώριον καὶ ὀρχήσεώς τε καὶ
ψαλμῶν σάλπιγγός τε καὶ κυμβάλων κατάγοντες τὴν κιβωτὸν εἰς Ἱεροσόλυμα. ὡς δ' ἄχρι 81
τῆς Χήλωνος ἅλωνος προῆλθον, τῶν βοῶν ἐπινευσάντων τὴν κιβωτὸν ἐκτείνας τὴν χεῖρα
Ὀζᾶς κατασχεῖν αὐτὴν ὡς μὴ ἀνατραπείη θνήσκει κατ' ὀργὴν τοῦ θεοῦ, ὅτι μὴ ὢν ἱερεὺς
ἥψατο ταύτης. ὁ δὲ τόπος ἐν ᾧ ἐτελεύτησεν Ὀζᾶς καλεῖται διακοπή. δείσας δὲ ὁ Δαυίδης 82
μὴ ταὐτόν τι πάθῃ τῷ Ὀζᾷ δεξάμενος τὴν κιβωτὸν ἐν τῇ πόλει, ἐκνεύσας εἴς τι χωρίον 83
ἀνδρὸς Λευίτου τὸ γένος Ὠβαδάμου ὄνομα παρ' αὐτῷ τὴν κιβωτὸν τίθησι· ἔμεινε δ' ἐπὶ
τρεῖς μῆνας αὐτόθι καὶ τῷ οἴκῳ τοῦ Ὠβαδάμου πολλῶν μετέδωκεν ἀγαθῶν. μαθὼν δὲ 84
ταῦτα ὁ βασιλεὺς καὶ θαρρήσας ὡς οὐδενὸς κακοῦ πειρασόμενος τὴν κιβωτὸν πρὸς ἑαυτὸν
μετακομίζει, τῶν ἱερέων βασταζόντων αὐτήν, ἑπτὰ δὲ χορῶν οὓς διεκόσμησε προαγόντων, 85
αὐτοῦ δ' ἐν κινύρᾳ παίζοντος καὶ κροτοῦντος, ὥστε καὶ τὴν γυναῖκα Μελχάλην Σαούλου
δὲ θυγατέρα ἰδοῦσαν αὐτὸν χλευάσαι. τιθέασιν δ' αὐτὴν εἰς τὴν σκηνήν, ἣν Δαυίδης 86
ἔπηξεν αὐτῇ, καὶ θύσας πολυτελῶς καὶ τὸν λαὸν ἑστιάσας ἀπέπεμψεν, αὐτὸς δὲ εἰς τὸν
οἶκον παραγίνεται. ἡ δὲ γυνὴ αὐτοῦ Μελχάλη κατεμέμψατο αὐτόν, ὡς ἀκοσμήσειεν ὀρχού- 87
μενος καὶ γυμνούμενος ὑπὸ τῆς ὀρχήσεως ὁ τηλικοῦτος βασιλεύς. ὃ δ' οὐκ αἰδεῖσθαι ταῦτα 88
ποιήσας εἰς τὸ τῷ θεῷ κεχαρισμένον ἔφασκεν. ἐξαμαρτάνειν δὲ νομίζων, εἰ μένων αὐτὸς 90
ἐν οἴκοις ἐκ κέδρου πεποιημένοις καὶ καλλίστην κατασκευὴν ἔχουσι περιορᾷ τὴν κιβωτὸν ἐν
σκηνῇ κειμένην, ὥρμησε τῷ θεῷ κατασκευάσαι ναόν. τοῦ δὲ θεοῦ φανέντος τῷ Νάθᾳ 91 92
νυκτὸς καὶ φράσαι τῷ Δαυίδῃ κελεύσαντος, ὡς τὴν μὲν προαίρεσιν αὐτοῦ ἀποδέχεται, οὐκ
ἐπιτρέπει δὲ φόνῳ τῶν ἐχθρῶν μεμιασμένῳ ποιῆσαι ναὸν αὐτῷ, μετὰ δὲ τὸν θάνατον 93
αὐτοῦ ἔσεσθαι τὸν ναὸν ὑπὸ τοῦ παιδὸς αὐτοῦ τὴν βασιλείαν παραληψομένου. μαθὼν 94
ταῦτα παρὰ τοῦ προφήτου καὶ περιχαρὴς γενόμενος ἐπὶ τῷ τοῖς ἐξ αὐτοῦ τὴν ἀρχὴν δια-
μένειν καὶ τὸν οἶκον αὐτοῦ περιβόητον ἔσεσθαι πρὸς τὴν κιβωτὸν παραγίνεται, καὶ πεσὼν 95
ἐπὶ πρόσωπον ηὐχαρίστει τῷ θεῷ. εἶτα συγκαλέσας τὴν στρατιὰν παρήγγειλε πρὸς πόλεμον 97
παρεσκευασμένην τυγχάνειν, καὶ ὅτε ἔδοξεν αὐτῷ καλῶς ἔχειν, ἐπὶ τοὺς Παλαιστηνοὺς ἧκε.
κρατήσας δ' αὐτῶν τῇ μάχῃ ἐπὶ τοὺς Μωαβίτας τὸν πόλεμον μετήγαγε, καὶ τὰ μὲν δύο 98
μέρη τῶν πολεμίων διέφθειρε, τὸ δὲ λοιπὸν αἰχμάλωτον ἔλαβε. καὶ φόρους ἐπιτάξας 99
αὐτῷ ἐπὶ Ἀρτάζαρον βασιλέα τῆς Σοφηνῆς ἐστράτευσε, καὶ συμβαλὼν αὐτῷ τῶν μὲν
πεζῶν αὐτοῦ διέφθειρεν ὡς δισμυρίους, τῶν δ' ἱπποτῶν ὡς πεντακισχιλίους. ἔλαβε δὲ καὶ

18 μαθὼν] ἀκούσας Iosephus.

Zonaras I p. 127 Bonn.

100 ἅρματα χίλια, ὧν ἑκατὸν μόνα φυλάξας ἠφάνισε τὰ λοιπά. ἀκούσας δὲ ὁ Δαμασκοῦ καὶ
Σύρων βασιλεὺς Ἄδαδος, ὅτι πολεμεῖ Δανίδης Ἀρτάζαρον, φίλος ὢν αὐτῷ ἧκε συμμαχήσων,
πταίσας δὲ τῇ μάχῃ πολλοὺς ἀπέβαλε τῶν στρατιωτῶν· ἔπεσον γὰρ ὡς δισμύριοι, οἱ δὲ
104 λοιποὶ ἔφυγον. Δανίδης δὲ στρατευσάμενος ἐπὶ Δαμασκὸν καὶ τὴν ἄλλην Συρίαν πᾶσαν
ὑπήκοον ἐποιήσατο, καὶ φρουρὰν ἐν τῇ χώρᾳ καταστήσας καὶ φόρους τελεῖν ὁρίσας αὐτὴν
ὑπέστρεψε· καὶ τάς τε χρυσέας φαρέτρας καὶ τὰς πανοπλίας, ἃς οἱ τοῦ Ἀδάδου σωματο-
105 φύλακες ἐφόρουν, ἀνέθηκε τῷ θεῷ εἰς Ἱεροσόλυμα· ἃς ὕστερον ὁ τῶν Αἰγυπτίων βασιλεὺς
Σούσακος στρατεύσας ἐπὶ Ῥοβοὰμ ἔλαβεν. ὁ δὲ Δανίδης τοῦ θεοῦ συμπνέοντος αὐτῷ
106 καὶ ταῖς καλλίσταις τῶν Ἀρταζάρου πόλεων ἐπεστράτευσε καὶ ταύτας ἑλὼν διήρπασεν, ἐν
107 αἷς πάμπολυς εὑρέθη χρυσὸς καὶ ἄργυρος καὶ χαλκός, ὃν χρυσῷ εἰκάζεσθαι ἔλεγον. ὁ δὲ
τῆς Ἀμάθης βασιλεὺς ταῦτα μαθὼν καὶ δείσας περὶ ἑαυτῷ, πέμπει πρὸς Δανίδην Ἀδώραμον
108 τὸν υἱὸν αὐτοῦ συμμαχίαν πρὸς αὐτὸν καὶ φιλίαν ποιούμενος. στέλλει δ' αὐτῷ καὶ δῶρα
σκεύη χρύσεα καὶ ἀργύρεα καὶ χάλκεα. τῆς δὲ φιλίας γενομένης τὸν μὲν υἱὸν τοῦ τῆς
Ἀμάθης βασιλέως Θαρνᾶ ἐντίμως ἀπέλυσε, τὰ δὲ δῶρα καὶ τὸν ἄλλον χρυσὸν καὶ ἄργυρον,
109 φέρων ἀνατίθησι τῷ θεῷ. καὶ Ἰδουμαίους δὲ νικᾷ Ἀβεσαῖον τὸν Ἰωάβου ἀδελφὸν στείλας
μετὰ δυνάμεως. καὶ τὴν Ἰδουμαίαν φρουραῖς διαλαβὼν φόρους παρ' αὐτῶν ἐδέχετο ὑπέρ
τε τῆς χώρας καὶ τῆς ἑκάστου κεφαλῆς.

111 112 Μνησθεὶς δὲ τῶν πρὸς Ἰωνάθην συνθηκῶν προσέταξεν ἀναζητεῖν εἴ τις ἐκ τοῦ
113 γένους αὐτοῦ σώζεται. καὶ μαθὼν υἱὸν Ἰωνάθου περιλείπεσθαι Μεμφιβοσθὸν ὄνομα
πεπηρωμένον τὰς βάσεις, ὡς ἐκ τῶν ὤμων τῆς τροφοῦ πεσόντα φευγούσης, πέμψας μετα-
114 πέμπεται πρὸς αὐτόν. ἐλθὼν δ' ἐκεῖνος προσεκύνησε τὸν βασιλέα. ὁ δὲ θαρρεῖν αὐτὸν
προετρέπετο καὶ δίδωσι τὸν πατρῷον οἶκον αὐτῷ καὶ πᾶσαν τὴν τοῦ πάππου Σαούλου
115 οὐσίαν καὶ ὁμοτράπεζον ἐκέλευσεν εἶναι. καλέσας δὲ τὸν Σιβᾶ πατρῷον ὄντα δοῦλον
Μεμφιβοσθοῦ ἐκέλευσεν αὐτὸν προνοούμενον τῶν δεδωρημένων καὶ τὴν γῆν ἐργαζόμενον
τὴν πρόσοδον εἰς Ἱεροσόλυμα κομίζειν, καὶ αὐτὸν δὲ Σιβὰν καὶ τοὺς υἱοὺς αὐτοῦ πεντε-
116 καίδεκα ὄντας καὶ τοὺς οἰκέτας εἴκοσι τῷ Μεμφιβοσθῷ ἐχαρίσατο. ἐντεῦθεν ὁ Ἰωνάθου
παῖς ἐν Ἱεροσολύμοις κατῴκει τῷ βασιλεῖ συνεστιώμενος καὶ πάσης ὡς υἱὸς αὐτοῦ θερα-
πείας τυγχάνων.

117 Τελευτήσαντος δὲ κατ' ἐκεῖνον τὸν καιρὸν τοῦ τῶν Ἀμανιτῶν βασιλέως Ναάσσου,
φίλος δ' ἦν Δανίδου, καὶ διαδεξαμένου τὴν βασιλείαν Ἀνὼν τοῦ παιδός, πέμψας Δανίδης
πρὸς αὐτὸν πρᾴως τε φέρειν ἐπὶ τῷ θανάτῳ τοῦ πατρὸς παρῄνει καὶ τὴν αὐτὴν φιλίαν
118 διαμένειν, ἣν πρὸς ἐκεῖνον εἶχε προσδοκᾶν. οἱ δὲ τῶν Ἀμμανιτῶν ἄρχοντες κατασκόπους
119 πεπομφέναι τῆς χώρας Δανίδην πείθουσι τὸν Ἀνὼν ἐπὶ προφάσει φιλανθρωπίας. καὶ
δόξας πιθανὰ λέγειν αὐτοὺς τοὺς πεμφθέντας χαλεπῶς περιύβρισε· ξυρίσας γὰρ αὐτῶν
τὰ ἡμίση τῶν γενείων καὶ τὰ ἡμίση τῶν ἱματίων περιτεμὼν ἔργοις ἀπέλυσε κομίζοντας
120 οὐ λόγοις τὰς ἀποκρίσεις. ἰδὼν δὲ ταῦτα Δανίδης ἠγανάκτησε καὶ δῆλος ἦν οὐ περιο-
121 ψόμενος τὴν ὕβριν, παρεσκευάζοντο δὲ καὶ οἱ Ἀμμανῖται πρὸς πόλεμον καὶ συμμάχους
122 ἐπὶ μισθῷ προσλαβόμενοι. ὁ δὲ Δανίδης δοὺς τὸ τῆς στρατιᾶς ἀκμαιότατον τῷ ἀρχιστρα-

9 ἑλὼν] λαβὼν Iosephus. — 11 μαθὼν] ὡς — ἐπύθετο Iosephus. — 12 στέλλει] ἔπεμψε Iosephus. — 15 στείλας] πέμψαντος Iosephus.



Zonaras I p. 127 Bonn.

τήγῳ Ἰωάβῳ ἔπεμψεν ἐπ' αὐτούς. ὁ δὲ συμβαλὼν τοῖς Ἀμμανίταις πρὸς τῇ μητρο- 123
πόλει αὐτῶν Ἀραμαθᾶ αὐτὸς μὲν τοὺς συμμάχους αὐτῶν Σύρους τρέπει, ὁ δὲ ἀδελφὸς 126
αὐτοῦ Ἀβεσσαῖος τοὺς Ἀμμανίτας, διχῇ γὰρ παρετάξαντο, καὶ ἅπαντες πρὸς φυγὴν
ἀπεῖδον. κρατήσας δὲ τῶν πολεμίων Ἰώαβος εἰς Ἱεροσόλυμα πρὸς τὸν βασιλέα λαμπρῶς
ὑπέστρεψεν. Ἀμμανῖται δὲ οὐκ ἠρέμησαν, ἀλλ' αὖθις μισθοῦνται συμμάχους τοὺς πέραν 127
Εὐφράτου Σύρους κατὰ Δανίδου. ὁ μαθὼν ἐκεῖνος δι' ἑαυτοῦ σὺν πάσῃ τῇ δυνάμει 128
διαβὰς τὸν Ἰόρδανον ὑπήντησεν αὐτοῖς καὶ συνάψας μάχην ἐνίκησε, καὶ ἀναιρεῖ
μὲν πολλούς, ἔτρωσε δὲ καὶ τὸν στρατηγὸν αὐτῶν Σάβεκον, ὃς ἐκ τῆς πληγῆς ἀπέθανεν.
οἱ δὲ Μεσοποταμῖται τοιούτου γενομένου τοῦ τέλους τῆς μάχης ἑαυτοὺς τῷ Δανίδῃ παρέ- 129
δωκαν. καὶ ὁ μὲν ὥρᾳ χειμῶνος ἀνέστρεψεν εἰς Ἱεροσόλυμα, ἀρχομένου δὲ τοῦ ἔαρος ἔπεμψε
τὸν ἀρχιστράτηγον Ἰώαβον πολεμήσοντα τοῖς Ἀμμανίταις. ὁ δὲ καὶ τὴν γῆν αὐτῶν ἔφθειρε
καὶ αὐτοὺς εἰς τὴν μητρόπολιν συγκλείσας Ἀραμαθὰν ἐπολιόρκει.

Δανίδῃ δὲ συνέπεσε πταῖσμα δεινόν· θεασάμενος γὰρ δείλης ὀψίας ἐν τοῖς βασιλείοις 130
περιπατῶν γυναῖκα λουομένην ἐν τῇ αὐτῆς οἰκίᾳ καλλίστην τὸ εἶδος ὄνομα Βηρσαβεήν,
ἡττᾶται τοῦ κάλλους αὐτῆς καὶ μεταπεμψάμενος αὐτὴν συνέρχεται. γενομένης δ' ἐγγύου 131
καὶ δηλωσάσης τοῦτο τῷ βασιλεῖ, ὅπως σκέψηται τοῦ λαθεῖν ὁδόν, ἵνα μὴ ἀποθάνῃ κατὰ
τὸν νόμον μεμοιχευμένη, μετακαλεῖται τὴν ἄνδρα ταύτης ἐκ τῆς πολιορκίας Οὐρίαν ὄνομα,
καὶ παραγενόμενον περί τε τῆς στρατιᾶς καὶ τῆς πολιορκίας ἀνέκρινεν. εἶτα ἐκ τοῦ δείπνου 132
δοὺς αὐτῷ μέρη κελεύει πρὸς τὴν γυναῖκα ἀπελθόντα ἀναπαύσασθαι. ὁ δὲ τοῦτο οὐκ
ἐποίησεν. ὡς δὲ γνοὺς ὁ βασιλεὺς ἠρώτα αὐτόν, ὅτι μὴ εἰς τὴν οἰκίαν ἔλθοι, οὐκ εἶναι 133
δίκαιον εἶπε τῶν συστρατιωτῶν καὶ τοῦ στρατηγοῦ χαμαὶ κοιμωμένων ἐν τῇ παρεμβολῇ
μετὰ τῆς γυναικὸς αὐτὸν ἀναπαύεσθαι. ταῦτα εἰπόντα μεῖναι τὴν ἡμέραν ἐκείνην προσ- 134
έταξεν αὐτόθι, ἐπὶ δεῖπνον δὲ κληθεὶς ὑπὸ τοῦ βασιλέως καὶ μέχρι μέθης προελθὼν
δεξιουμένου τοῦ βασιλέως αὐτὸν προπόσεσι, πάλιν πρὸ τῶν τοῦ βασιλέως θυρῶν ἐκοιμήθη.
δυσανασχετήσας δ' ὁ βασιλεὺς ἔγραψε τῷ Ἰωάβῳ κολάσαι τὸν Οὐρίαν, ἁμαρτεῖν γὰρ αὐτόν, 135
ὑποθέμενος κατὰ τὸ δυσμαχώτατον αὐτὸν μέρος τῶν πολεμίων τάξαι καὶ μόνον ἀπολι- 136
πεῖν τῶν συμπαρόντων ἀναχωρησάντων. ταῦτα γράψας καὶ σημηνάμενος ἔδωκεν Οὐρίᾳ
κομίσαι πρὸς Ἰώαβον. δεξάμενος δὲ ταῦτα ὁ στρατηγὸς καθ' ὃν ᾔδει τόπον τοὺς πολεμίους 137
χαλεποὺς γινομένους, κατὰ τοῦτον ἔστησε τὸν Οὐρίαν δοὺς αὐτῷ τινὰς τῶν ἀρίστων τῆς
στρατιᾶς· αὐτὸς δὲ σὺν τῇ δυνάμει προσβοηθήσειν ἔφασκε. τοῦ δὲ Οὐρίου προθύμως τὸ 138
ἔργον ὑποστάντος ἰδίᾳ τοῖς μετ' αὐτοῦ ὅταν ἐξορμήσαντας ἴδωσι τοὺς πολεμίους κατα-
λιπεῖν αὐτὸν ἐδήλωσε. προσβαλόντων οὖν τῇ πόλει προστησάμενοι τοὺς ἀνδρειοτάτους 139
καὶ τὴν πύλην ἀνοίξαντες οἱ πολέμιοι μετὰ ῥύμης τοῖς ἐχθροῖς ἐπεξῆλθον. οἱ δὲ σὺν τῷ 140
Οὐρίᾳ ἅπαντες ἀνεχώρησαν ὀπίσω. Οὐρίας δὲ τὴν τάξιν μὴ λιπὼν ὑπέμεινε τοὺς πολεμίους
καὶ ἀναιρεῖ μὲν οὐκ ὀλίγους, κυκλωθεὶς δὲ τελευτᾷ. ὁ δ' Ἰώαβος ἔπεμψεν ἄγγελον πρὸς 141
τὸν βασιλέα λέγειν ἐντειλάμενος αὐτοῖς, ὡς προσβαλὼν τῷ τείχει καὶ πολλοὺς ἀπολέσας
ἀναχωρῆσαι βιασθείη, προστιθέναι δὲ τούτοις, ἂν ὀργιζόμενον αὐτὸν βλέπωσι, καὶ τὸν
Οὐρίου θάνατον. τοῦ δὲ βασιλέως δυσφοροῦντος ἐπὶ ταῖς ἀγγελίαις καὶ τὸν Οὐρίου 142 144
θάνατον ἐδήλωσεν ὁ ἄγγελος. παύεται οὖν τῆς ὀργῆς καὶ ἀπελθόντα λέγειν ἐκέλευσεν

6 μαθὼν] γνοὺς Iosephus. — 15 ἐγκύου Iosephus. — 20 ἠρώτα] ἀνέκρινεν Iosephus. — 24 πρὸ] πρὸς Busb. — 32 προστησάμενοι] Iosephus προστησάμενος Busb. — 38 οὐρίου, ου finale i. ras. Busb.

Zonaras I p. 129 Bonn.

Ἰωάβῳ τὰ τοῦ πολέμου φύσιν ἔχειν τοιαύτην, ὥστε ποτὲ μὲν τοῖσδε τὰς εὐπραγίας συμ-
145 βαίνειν, ποτὲ δὲ τοῖσδε, τοῦ λοιποῦ μέντοι προνοεῖν ὡς μηδὲν ἔτι πταίσωσι. καὶ ὁ μὲν
146 ἄγγελος τὰ ἐντεταλμένα κομίζων ἠπείγετο. ἡ δὲ τοῦ Οὐρίου γυνὴ ἐπὶ συχνὰς ἡμέρας τὸν
θάνατον ἐπένθησε τοῦ ἀνδρός, παυσαμένην δὲ ὁ βασιλεὺς εὐθὺς ἄγεται εἰς γυναῖκα, καὶ
147 παῖς ἄρρην ἐξ αὐτῆς αὐτῷ γίνεται. ὁ δὲ θεὸς τῷ προφήτῃ Νάθᾳ κατὰ τοὺς ὕπνους
φανεὶς δι' ὀργῆς εἶχε τὸν βασιλέα. ὁ δὲ Νάθας συνετὸς ὢν καὶ ἀστεῖος ἀνήρ, προσελθὼν
148 τῷ Δαυίδῃ· „δύο, φησίν, ἄνδρες ἦσαν ἐν πόλει, ὁ μὲν πλούσιος καὶ πολλὰς ἔχων
149 ἀγέλας θρεμμάτων, ὁ δὲ πενης μίαν ἔχων ἀμνάδα, ἣν μετὰ τῶν τέκνων ἀνέτρεφε. ξένου
δ' ἐλθόντος τῷ πλουσίῳ, ἐκεῖνος τῶν μὲν ἰδίων ἐφείσατο τὴν δὲ ἀμνάδα τοῦ πένητος
150 ἀποσπάσας ἔθυσε καὶ τὸν ξένον εἱστίασεν". ἤλγησεν ἐπὶ τούτοις ὁ βασιλεὺς καὶ πονηρὸν
τὸν τοῦτο ποιήσαντα ἀπεφήνατο εἰς τὸ τετραπλοῦν τε τὴν ἀμνάδα ἐκτῖσαι κἀκεῖνον
ἀποθανεῖν. Νάθας δ' ὑποτυχὼν αὐτὸν ἔλεγεν εἶναι τὸν ἄξιον ταῦτα παθεῖν κεκριμένον
151 τολμήσαντα δεινὸν ἔργον. καὶ ἀνεκάλυπτεν αὐτῷ τὴν ὀργὴν τοῦ θεοῦ καὶ τὰς εἰς αὐτὸν
γενομένας τοῦ θεοῦ εὐεργεσίας κατέλεγε καὶ τὴν μοιχείαν καὶ τὴν κατὰ τοῦ Οὐρίου ἐπι-
152 βουλὴν ἤλεγχε, καὶ ἀντὶ τούτων δίκας αὐτὸν δώσειν ἐδήλου· βιασθήσεσθαι γὰρ αὐτοῦ τὰς
γυναῖκας ὑφ' ἑνὸς τῶν παίδων καὶ ἐπιβουλευθήσεσθαι, τεθνήξεσθαι δὲ καὶ τὸν παῖδα
153 τὸν ἐξ αὐτῆς γεγενημένον. συγχυθέντος δ' ἐπὶ τούτοις τοῦ βασιλέως καὶ μετὰ δακρύων
154 ἀσεβῆσαι λέγοντος διαλλάττεται ὁ θεός. τῷ δ' ἐκ τῆς Οὐρίου γυναικὸς γενομένῳ νόσον
ἐνσκήπτει τὸ θεῖον, ἐφ' ᾗ δυσφορῶν ὁ βασιλεὺς τροφὴν ἐπὶ ἡμέρας ἑπτὰ οὐ προσήκατο,
πεσὼν δ' ἐπὶ σάκκου κατὰ γῆς καὶ μέλαιναν ἐσθῆτα περιθέμενος ἱκέτευε τὸν θεὸν
155 ὑπὲρ τῆς τοῦ υἱοῦ σωτηρίας. τῇ δ' ἑβδόμῃ τελευτήσαντος τοῦ παιδὸς οὐκ ἐτόλμων αὐτῷ
156 μηνύειν οἱ θεράποντες τοῦτο. ταραττομένων δ' αἰσθόμενος αὐτῶν, συνεὶς ὅτι τέθνηκεν ὁ
παῖς προσφωνήσας ἕνα τῶν οἰκετῶν καὶ μαθὼν τἀληθῆ ἀνίσταται, καὶ λουσάμενος καὶ
157 λαβὼν ἐσθῆτα λευκὴν εἰς τὴν τοῦ θεοῦ σκηνὴν παραγίνεται, καὶ κελεύσας αὐτῷ δεῖπνον
παρατεθῆναι πολλὴν ἐπὶ τῷ παραλόγῳ τοῖς ὁρῶσι παρέσχε τὴν ἔκπληξιν, ὅτι μηδὲν νοσοῦντος
τοῦ παιδὸς ποιήσας πάνθ' ὁμοῦ τελευτήσαντος ἔπραττε. καὶ τὴν αἰτίαν παρεκάλουν
158 εἰπεῖν τῶν γεγενημένων. ὃ δ' εἶπεν, ὡς ἔτι μὲν ζῶντος τοῦ παιδὸς ἔχων ἐλπίδα σωτηρίας
αὐτοῦ ταῦτ' ἐποίει τὸν θεὸν ἡγούμενος τούτοις εὐμενῆ καταστήσειν, ἀποθανόντος δὲ οὐκέτι
χρείαν εἶναι λύπης ματαίας. ἔτι δ' ἐκ τῆς Βηρσαβῆς ἄρρεν παιδίον αὐτῷ γέγονεν, ὃ
159 Σαλομῶνα ἐκάλεσεν οὕτω Νάθα τοῦ προφήτου κελεύσαντος. Ἰώαβος δὲ τῇ πολιορκίᾳ
τοὺς Ἀμμανίτας ἰσχυρῶς ἐκάκου, ὡς πάνυ ταλαιπωρεῖν ἐνδείᾳ ποτοῦ καὶ τροφῆς.
160 γράφει δὲ τῷ βασιλεῖ ταῦτα δηλῶν καὶ παρακαλῶν ἐπὶ τὴν αἵρεσιν τῆς πόλεως ἐλθεῖν
αὐτόν. παραλαβὼν οὖν τὴν σὺν αὐτῷ δύναμιν ἧκεν ἐπὶ τὴν τῆς Ῥαμαθᾶς πόρθησιν καὶ
161 κατὰ κράτος ἑλὼν διαρπάσαι τοῖς στρατιώταις ἀφῆκεν. αὐτὸς δὲ τὸν τοῦ βασιλέως λαμ-
βάνει στέφανον ἕλκοντα χρυσοῦ τάλαντον καὶ πολυτελῆ λίθον ἔχοντα σαρδόνυχα. τοὺς δὲ
ἄνδρας διέφθειρε. ταὐτὰ δὲ καὶ τὰς ἄλλας τῶν Ἀμμανιτῶν πόλεις διέθηκεν.
162 Ἀναστρέψαντος δὲ εἰς Ἱεροσόλυμα πταῖσμα αὐτοῦ τὴν οἰκίαν ἐξ αἰτίας τοιαύτης
καταλαμβάνει· θυγάτηρ γὰρ ἦν αὐτῷ παρθένος τὸ εἶδος εὐπρεπής, Θημὰρ ὄνομα, τῆς αὐτῆς

17 γεγεννημένον Henn. et ex corr. Busb. — 21 υἱοῦ] παιδὸς Iosephus. — 30 ἐκάλεσεν] προσηγόρευσεν Iosephus. — 31 post Ἀμμανίτας circiter 10 litt. erasae. — 38 εἶδος] κάλλος Iosephus.



Zonaras I p. 130 Bonn.

Ἀβεσσαλώμῳ μητρός. ταύτης ὁ πρεσβύτατος τῶν Δαυίδου Ἀμνῶν ἐρασθεὶς χαλεπῶς διέκειτο, 163
καὶ τό τε σῶμα ἰσχναίνετο καὶ τὴν χρόαν μετέβαλεν. Ἰωνάθης δέ τις φίλος αὐτοῦ καὶ 164
συγγενὴς ὁρῶν τὸν Ἀμνὼν οὕτως διακείμενον ἠρώτα φράσαι τὴν αἰτίαν αὐτῷ, εἰκάζειν δ'
ἔλεγεν ἐξ ἐρωτικῆς οὕτως ἔχειν αὐτὸν ἐπιθυμίας. τοῦ δὲ Ἀμνὼν ὁμολογήσαντος τὸ πάθος 165
νόσον ὑποκρίνασθαι παρῄνεσεν, ἐλθόντα δὲ τὸν πατέρα παρακαλέσαι πέμψαι τὴν ἀδελφὴν
διακονησομένην αὐτῷ. νοσεῖν οὖν ὁ Ἀμνὼν προσεποιεῖτο, παραγενομένου δὲ τοῦ πατρὸς τὴν 166
ἀδελφὴν πέμψαι πρὸς αὐτὸν ἠξίου, ὁ δ' ἐκέλευσεν ἀχθῆναι. ἡκούσῃ δ' ἐπέταξεν ἄρτους
αὐτῷ ποιῆσαι τηγανιστούς. ἡ δ' αὐτουργήσασα τούτους προσήνεγκεν αὐτῷ· ὁ δὲ προσέταξε 167
τοῖς οἰκέταις παραιτήσασθαι πάντας πρὸ τοῦ δωματίου· βούλεσθαι γὰρ ἀναπαύσασθαι·
τὴν δὲ ἀδελφὴν ἠξίωσεν εἰς τὸν ἐνδότερον οἶκον τὸ δεῖπνον αὐτῷ παρενεγκεῖν· τῆς κόρης 168
δὲ τοῦτο ποιησάσης λαβόμενος αὐτῆς βιάζεται. μῖσος δ' εὐθέως μετὰ τὴν κορείαν εἰσέρ- 169 170
χεται τὸν Ἀμνῶνα καὶ προσλοιδορησάμενος ἐκέλευσεν ἀναστᾶσαν ἀπεῖναι. καὶ κελεύει τῷ 171
οἰκέτῃ ἐν ἡμέρᾳ καὶ φωτὶ ἐκβαλεῖν αὐτήν. ἡ δὲ περιαλγὴς ἐπὶ τῇ ὕβρει καὶ τῇ βίᾳ γενο- 171
μένη περιρρήξασα τὸν χιτωνίσκον καὶ σποδὸν καταχεαμένη τῆς κεφαλῆς ἀπῄει διὰ τὴν
βίαν ὀδυρομένη. περιτυχὼν δ' αὐτῇ ὁ ἀδελφὸς Ἀβεσάλωμος καὶ μαθὼν τὸ συμβὰν ἡσυχάζειν 172
παραινεῖ καὶ μὴ νομίζειν ὑβρίσθαι φθαρεῖσαν ὑπ' ἀδελφοῦ. γνοὺς δὲ τοῦτο Δαυίδης τοῖς μὲν 173
πεπραγμένοις ἤχθετο, φιλῶν δὲ τὸν Ἀμνῶνα ὡς πρεσβύτατον υἱὸν μὴ λυπεῖν αὐτὸν ἠναγκάζετο.
ὁ δὲ Ἀβεσάλωμος καιρὸν εἰς ἄμυναν αὐτοῦ παρεφύλασσεν. ἤδη δ' ἔτος τῷ πταίσματι διεληλύθει 174
δεύτερον, καὶ μέλλων ἐπὶ τὴν τῶν θρεμμάτων ἀπιέναι κουρὰν Ἀβεσσάλωμος παρεκάλει
τὸν πατέρα σὺν τοῖς ἀδελφοῖς ἐλθεῖν πρὸς αὐτὸν ἐφ' ἑστίασιν. παραιτησαμένου δὲ τοὺς 175
ἀδελφοὺς ἀποστεῖλαι παρεκάλεσε. πέμψαντος δὲ τοῖς ἰδίοις ἐκέλευσεν, ὁπηνίκα ἴδωσι τὸν
Ἀμνῶνα μέθῃ παρειμένον φονεῦσαι αὐτόν. ὡς δ' ἐποίησαν τὸ προσταχθὲν δείσαντες οἱ 176
λοιποὶ τῶν ἀδελφῶν τοῖς ἵπποις ἐπιπηδήσαντες ἐφέροντο πρὸς τὸν πατέρα. φθάσας δέ
τις ὑπὸ Ἀβεσσαλώμου πεφονεῦσθαι προσήγγειλε τοὺς υἱοὺς ἅπαντας. ὁ δ' ὡς ἐπὶ παισὶν 177
ὁμοῦ τοσούτοις ἀπολωλόσι καταρρηξάμενος τὴν ἐσθῆτα καὶ ῥίψας αὐτὸν ἐπὶ τὴν γῆν
ἔκειτο πενθῶν. μεταξὺ δὲ προσίασιν οἱ τοῦ βασιλέως παῖδες. ὑπαντᾷ δ' αὐτοῖς ὁ πατὴρ 179
θρηνοῦσι, καὶ ἦν παρὰ πάντων δάκρυα καὶ στόνος. φεύγει δ' Ἀβεσσάλωμος πρὸς τὸν 180
πάππον τὸν ἐκ μητρὸς καὶ τρισὶν ἔτεσι παρ' αὐτῷ διάγει. τῆς δ' ὀργῆς τῷ χρόνῳ λωφη- 181
σάσης ἐβούλετο μὲν καὶ Δαυίδης ἐπὶ τὸν υἱὸν πέμπειν κατελευσόμενον, παρώρμησε δὲ
πρὸς τοῦτο αὐτὸν καὶ Ἰώαβος. γύναιον γάρ τι προβεβηκὸς ἐποίησεν αὐτῷ προσελθεῖν ἐν 182
σχήματι πενθίμῳ, ὡς παίδων αὐτῇ διενεχθέντων καὶ τοῦ ἑτέρου θανόντος πληγέντος ὑπὸ
θατέρου, ἠξίου τε τῶν συγγενῶν τὸν ἀνῃρηκότα ζητούντων ἀνελεῖν χαρίσασθαι τὴν σωτηρίαν 183
αὐτῇ τοῦ παιδὸς καὶ μὴ καὶ τὸν ἔτι λοιπὸν αὐτῇ προσαφαιρεθῆναι. τοῦ δὲ συγκαταινέ- 184
σαντος οἷς τὸ γύναιον ἱκέτευσεν, ὑπολαβὼν „χάρις μέν, εἶπεν, ἤδη σου τῇ χρηστότητι
οἰκτείραντός μου τὸ γῆρας, ἀλλ' ἵνα βέβαια τὰ τῆς σῆς εἴη μοι φιλανθρωπίας, τῷ σαυτοῦ
πρώτον παιδὶ διαλλάγηθι. ἀνόητον δ' εἶναι προσθεῖναι τῷ παρὰ γνώμην ἀποθανόντι καὶ 185
ἄλλον ἑκουσίως. συνίησιν ὁ βασιλεὺς ὑπόβλητον εἶναι τὴν σκῆψιν ἐξ Ἰωάβου καὶ προσ- 186

1 ἀβεσσαλώμῳ ex corr. Busb. — 7 ἠξίου] ἐδεῖτο Iosephus. — 15 ἀβεσσάλωμος ex corr. Busb. — 16 παραινεῖ] παρηγόρει Iosephus. — 16 litt. ισθαι φθαρεῖσαν ὑπ' i. ras. 7 litterarum Busb. — 28 διάγει] καταμένει Iosephus. — 33 συγκατανεύσαντος Henn. — 35 ὑπολαβὸν Iosephus.

Zonaras I p. 132 Bonn.

187 καλεσάμενος αὐτὸν ἄγειν Ἀβεσσάλωμον ἐκέλευεν. ὁ δὲ προσκυνήσας ἐξώρμησε καὶ τὸν
188 Ἀβεσσάλωμον παραλαβὼν ἧκεν εἰς Ἱεροσόλυμα. ὁ δὲ βασιλεὺς πρὸς ἑαυτὸν ἐκέλευσε χωρεῖν,
189 καὶ ἐξέκλινε τὴν ὄψιν τοῦ πατρὸς ὡς ἐκέλευσεν. οὐδὲν δ' εἰς τὸ κάλλος ἐβέβλαπτο, ἀλλ'
ἔτι διέπρεπε τῷ εἴδει καὶ τῷ μεγέθει τοῦ σώματος, τοσοῦτο μέντοι γε ἦν τὸ βάθος τῆς
κόμης αὐτῷ, ὡς μόλις αὐτὴν ἡμέραις ἀποκείρειν ὀκτὼ σταθμὸν ἕλκουσαν σίκλους διακοσίους·
190 191 οὗτοι δ' εἰσὶ πέντε μναῖ. διέτριψεν δ' ἐν Ἱεροσολύμοις ἔτη δύο. ἐδεῖτο δ' Ἰωάβου τελέως
αὐτῷ τὸν πατέρα καταπραῧναι, ὥστε καὶ θέας αὐτῷ παραχωρῆσαι καὶ ὁμιλίας. καταμελή-
σαντος δὲ Ἰωάβου στείλας τὴν ὁμοροῦσαν αὐτῷ χώραν ἐπυρπόλησεν. ὁ δ' ἦν ἐγκαλῶν
192 καὶ τὴν αἰτίαν πυνθανόμενος, Ἀβεσσάλωμος δὲ „τοῦτο, εἶπεν, εὗρον στρατήγημα ἀγαγεῖν
σε πρὸς ἡμᾶς δυνάμενον, καὶ δὴ δέομαί σου παρόντος ἡμερῶσαί μοι τὸν γεγεννηκότα“.
193 πεισθεὶς δὲ Ἰώαβος ἐμεσίτευσε πρὸς τὸν βασιλέα καὶ οὕτως αὐτὸν διατίθησιν, ὡς εὐθέως
καλέσαι. τοῦ δὲ ῥίψαντος ἑαυτὸν ἐπ' ἐδάφους καὶ συγγνώμην αἰτουμένου ἀνίστησι καὶ
ἀμνηστίαν τῶν γεγονότων ἐπαγγέλλεται.
194 Ὁ δὲ Ἀβεσσάλωμος πολλοὺς μὲν ἵππους ἐν ὀλίγῳ χρόνῳ πολλὰ δὲ ἅρματα ἐκτήσατο καὶ
195 ὁπλοφόρους εἶχε πεντήκοντα, καὶ καθεκάστην ὄρθριος πρὸς τὰ βασίλεια παρεγίνετο καὶ τοῖς
ἐπὶ τὰς κρίσεις ἥκουσι καὶ ἐλαττουμένοις πρὸς ἡδονὴν ὁμιλῶν εὔνοιαν αὐτῷ παρὰ πάντων
196 κατεσκεύαζε. μετὰ δὲ τὴν τοῦ πατρὸς καταλλαγὴν τεσσάρων ἐτῶν διεληλυθότων ἐδεῖτο
συγχωρηθῆναι εἰς Γιβρῶνα ἀπελθεῖν τῷ θεῷ θυσιάσων· φεύγων γὰρ εὔξασθαι τούτῳ.
καὶ τοῦ πατρὸς ἀφέντος πορεύεται. πολὺς δ' ἐπισυνέρρευσεν ὄχλος ἐπὶ πολλοὺς αὐτοῦ
197 διαπέμψαντος. παρῆν δὲ καὶ ὁ Δαυίδου σύμβουλος ὁ Γελμωναῖος Ἀχιτόφελος καὶ διακόσιοι
198 ἐξ Ἱεροσολύμων, καὶ βασιλεὺς ὑπὸ πάντων ἀναδείκνυται. ὡς δ' ἀνηγγέλη ταῦτα Δαυίδῃ,
δείσας καὶ τῆς ἀσεβείας καὶ τῆς τόλμης αὐτὸν ἔγνω φεύγειν εἰς τὸ πέραν τοῦ Ἰορ-
199 δάνου, καὶ περὶ πάντων ἐπιτρέψας κριτῇ τῷ θεῷ ἀπῆρε τῶν Ἱεροσολύμων, τοῦ τε ἄλλου
πλήθους συνεξορμήσαντος καὶ τῶν ἑξακοσίων ὁπλιτῶν, οἳ καὶ τῆς ἐπὶ Σαούλου φυγῆς αὐτῷ
200 201 ἐκοινώνουν. τὸν δὲ Ἀβιάθαρον καὶ Σάδωκον τοὺς ἀρχιερέας μένειν ἔπεισεν ἐντειλάμενος
202 ἕκαστα τῶν γινομένων λάθρα διαγγέλειν αὐτῷ. ἀναβαίνοντος δ' αὐτοῦ διὰ τοῦ Ἐλαιῶνος
ὄρους γυμνοῖς τοῖς ποσὶ καὶ πάντων σὺν αὐτῷ δακρυόντων, ἀγγέλεται καὶ Ἀχιτόφελος τὰ
τοῦ Ἀβεσσαλώμου φρονῶν, ὃ τὴν λύπην ἐπέτεινε, καὶ τὸν θεὸν ἐπεκαλεῖτο· ἐδεδίει γὰρ
203 αὐτὸν ὄντα φρενήρη καὶ συνιδεῖν τὸ λυσιτελὲς ὀξύτατα. συνήντησε δ' αὐτῷ φίλος ἀνὴρ
204 καὶ βέβαιος Χουσὶς ὄνομα. τοῦτον ἐκέλευσεν ἀπελθόντα πρὸς Ἀβεσσάλωμον ὡς τάχα τὰ
ἐκείνου φρονοῦντα τά τε ἀπόρρητα κατανοεῖν καὶ ταῖς Ἀχιτοφέλου συμβουλίαις ἀντι-
πράττειν. καὶ ὁ μὲν πεισθεὶς ἧκεν εἰς Ἱεροσόλυμα· ἀφικνεῖται δὲ εἰς αὐτὴν καὶ Ἀβεσσά-
205 λωμος. συνήντησε δὲ τῷ Δαυίδῃ ὁ τοῦ Μεμφιβοσθοῦ δοῦλος Σιβᾶς μετὰ ζεύγους ὄνων
206 καταπεφορτισμένων τοῖς ἐπιτηδείοις, τὸν δὲ Μεμφιβοσθὸν εἰς Ἱεροσόλυμα ἔλεγεν εἶναι
προσδοκῶντα χειροτονηθήσεσθαι βασιλέα. ἀγανακτήσας δ' ἐπὶ τούτῳ πάνθ' ὅσα τῷ
207 Μεμφιβοσθῷ παρεχώρησε Σιβᾷ χαρίζεται. Δαυίδῃ δὲ προϊόντι ἐπέρχεται τοῦ Σαούλου
συγγενὴς Σεμεεὶ ὄνομα καὶ λίθοις βάλλων αὐτὸν ἐκακηγόρει μιαιφόνον καὶ πολλῶν κακῶν
208 ἀρχηγὸν ἀποκαλῶν. πάντων δ' ἐπ' αὐτὸν ἠρεθισμένων καὶ Ἀβεσαίου διαχρήσασθαι

26 διαγγέλλειν ex corr. Busb. — 27 ἀγγέλλεται ex corr. Busb. — 30 χονσῆς ex corr. Busb. — 30 ἐκέλευσεν] ἱκέτευσεν Iosephus.



Zonaras I p. 133 Bonn.

βουλομένου αὐτὸν Δαυίδης ἐπέσχεν, „ἴσως ἔσται τίς ἡμῖν, εἰπών, οἶκτος ἐκ τοῦ θεοῦ“·
παραγενόμενος δ' ἐπὶ τὸν Ἰόρδανον ἀνελάμβανε τοὺς ἰδίους ἐνταῦθα. Ἀβεσσαλώμου δὲ 210 211
παραγενομένου εἰς Ἱεροσόλυμα καὶ ὁ Χουσὶς ἧκε πρὸς αὐτόν. φήσαντος δέ, τί δήποτε
φίλος τοῦ πατρὸς ὢν καταλιπὼν ἐκεῖνον μεταβαίη πρὸς αὐτόν, εἶπεν ἕπεσθαι δεῖν αὐτὸν 212
τῷ θεῷ καὶ τῷ παντὶ πλήθει καὶ τὴν αὐτὴν ἐνδείκνυσθαι πίστιν πρὸς σὲ τὴν βασιλείαν
λαβόντα παρὰ θεοῦ. ταῦτα λέγων ἔπειθεν. Ἀβεσσάλωμος δὲ τῷ Ἀχιτοφέλῳ συνεβουλεύετο 213
τί δεῖ ποιεῖν· ὁ δὲ ταῖς τοῦ πατρὸς αὐτοῦ παλλακαῖς παρῄνεσε συνελθεῖν· οὕτω γὰρ
εἴσεσθαι τὸν λαὸν ἀδιάλλακτα πρὸς αὐτοὺς εἶναι. κελεύει οὖν αὐτῷ σκηνὴν πῆξαι τοῦ 214
πλήθους ὁρῶντος, ἐν ᾗ συνέρχεται ταῖς τοῦ πατρὸς παλλακίσι κατὰ τὴν Νάθα προφητείαν.
εἶτα συμβουλεύειν ἠξίου περὶ τοῦ πολέμου. μυρίους δ' ἐπιλέκτους αἰτήσαντος καὶ τὸν πατέρα 215
κτείνειν αὐτοῦ καὶ τοὺς σὺν αὐτῷ ζώους ἕξειν ὑπισχνουμένου μετακαλεῖται καὶ τὸν Χουσὶ 216
καὶ πρὸς τὴν Ἀχιτοφέλου γνώμην τί δοκεῖ αὐτῷ ἐπυνθάνετο. ὁ δὲ συνιδών, ὅτι κιν-
δυνεύει Δαυίδης γινομένης τῆς Ἀχιτοφέλου συμβουλῆς „οὐκ ἀγνοεῖς, εἶπεν, ὦ βασιλεῦ, 217
τὴν τοῦ πατρὸς καὶ τῶν αὐτῷ συνόντων ἀνδρείαν καὶ ἐμπειρίαν. πέμψας οὖν εἰς πᾶσαν 219
τὴν χώραν παράγγειλον αὐτοῖς τὴν ἐπὶ τὸν πατέρα σου στρατείαν, καὶ παραλαβὼν τὴν
δύναμιν αὐτὸς τοῦ πολέμου γίνου στρατηγός· νικήσειν γὰρ προσδόκα ὄντα μετ' ὀλίγων 220
αὐτὸς πολλὰς ἔχων μυριάδας. ταῦτα εἰπὼν εὐδοκίμησε καὶ αὐτοῦ προεκρίθη γνώμη. 221
σπεύσας δὲ πρὸς Σάδωκον καὶ Ἀβιάθαρον τοὺς ἀρχιερέας ἄμφω τὰς συμβουλὰς ἐξειπὼν 222
καὶ ὡς ἐπεκράτησεν ἡ αὐτοῦ, ἐκέλευε ταῦτα δηλοῦν Δαυίδῃ καὶ παρακελεύσασθαι ταχέως
διαβῆναι τὸν Ἰορδάνην, μὴ μεταγνοὺς ὁ παῖς αὐτοῦ διώκειν ὁρμήσῃ καὶ πρὶν ἐν ἀσφαλείᾳ
γένηται φθάσας καταλάβῃ. οἱ δὲ ἀρχιερεῖς ἔξω τῆς πόλεως τοὺς υἱοὺς εἶχον κεκρυμμένους, 223
καὶ διαπεμψάμενοι πρὸς αὐτοὺς προσέταξαν μετὰ σπουδῆς τὰ βεβουλευμένα Δαυίδῃ
σημαίνειν. οἱ δ' ἠπείγοντο συμμαχεῖν Δαυίδῃ. γενομένους δὲ ὡς ἀπὸ σταδίων τῆς πόλεως 224 225
δύο θεῶνταί τινες καὶ διαβάλλουσι πρὸς Ἀβεσσάλωμον· ὁ δ' ἔπεμψε τοὺς συλληψομένους.
οἱ δὲ νοήσαντες τοῦτο ἐκτραπέντες τῆς ὁδοῦ εἰς κώμην ἦλθον τινὰ καὶ γυναικὸς ἐδεήθησαν
κρύψαι αὐτούς. ἡ δὲ καθιμήσασα τούτους εἰς φρέαρ καὶ πλάκας ἄνωθεν ἐρίων ἐπιβαλοῦσα, 226
ὡς ἧκον οἱ διώκοντες ἐρωτῶντες, ἰδεῖν οὐκ ἠρνήσατο, ἰόντας δ' εἶπε παρ' αὐτῇ πάλιν ἀπελθεῖν.
ὡς δ' ἐπὶ πολὺ διώξαντες οὐ κατέλαβον, ἀνέστρεψαν καὶ ἀνιμήσασα τοὺς νεανίσκους ἡ 227
γυνὴ τὴν ὁδὸν ἀνύειν παρεκελεύσατο. οἱ δὲ σὺν τάχει πρὸς τὸν Δαυίδην ἧκον πάντα
δηλοῦντες αὐτῷ. ὁ δὲ διαβῆναι τὸν Ἰόρδανον τοῖς μετ' αὐτοῦ προσέταξεν ἤδη νυκτὸς οὔσης.
Ἀχιτόφελος δὲ τῆς γνώμης αὐτοῦ παρευδοκιμηθείσης ἐξώρμησεν εἰς Γάλην τὴν πατρίδα 228
καὶ παρελθὼν εἰς τὸ μυχαίτατον τῆς οἰκίας ἀνήρτησεν ἑαυτόν. καὶ τὸν μὲν καθελόντες 229
ἐκ τῆς ἀγχόνης ἐκήδευσαν οἱ προσήκοντες. ὁ δὲ Δαυίδης διαπεραιωθεὶς εἰς Παρεμβολὰς 230
πόλιν ὀχυρὰν παραγίνεται· δέχονται δ' αὐτὸν ἀσμενέστατα οἱ πρῶτοι τῆς χώρας. Ἀβεσσά- 232
λωμος δὲ ἀθροίσας μεγάλην στρατιὰν ἦγεν ἐπὶ τὸν πατέρα καὶ διαβὰς τὸν Ἰόρδανον οὐ
πόρρω κατέζευξε τῶν Παρεμβολῶν, καταστήσας στρατηγὸν πάσης τῆς δυνάμεως Ἀβεσσάν.
ὡς δ' ἐξαριθμήσας τοὺς σὺν αὐτῷ Δαυίδης περὶ τετρακισχιλίους εὗρεν, οὐκ ἔγνω μένειν, 233

10 τοῦ om. Busb. — μυρίας Busb. man. 1. — 11 ἕξειν, ἕ i. ras. Busb. ἀνάξειν Josephus. — 17 καὶ] καὶ ἡ Henn. — 19 δηλοῦν] μηνύειν Iosephus. — 20 καὶ πρὶν .... 21 καταλάβῃ om. Henn. — 23 συμμαχεῖν] συμβαλεῖν Iosephus. — 28 οὐκ ἀπέλαβον Busb. — 31 γάλην ex γαλήνην corr. vid. Busb. — 33 διαπεραιωθεὶς] διαβὰς Iosephus.

Zonaras I p. 135 Bonn.

διελὼν δὲ εἰς τρία μέρη τὴν στρατιὰν τὸ μὲν Ἰωάβῳ παρέδωκε, τὸ δὲ Ἀβεσαίῳ, τὴν δὲ
234 τρίτην μοῖραν Ἐσθαίῳ συνήθει καὶ φίλῳ. βουλόμενον δὲ συνεκστρατεύειν αὐτὸν οὐκ
εἴασαν οἱ φίλοι, νικηθέντες δὲ σὺν αὐτῷ πᾶσαν ἀποβαλεῖν ἐλπίδα φάσκοντες, ἑνὶ δ' ἡττη-
θέντες μέρει τῆς δυνάμεως ἂν τῷ λοιπῷ πρὸς αὐτὸν φύγωσιν, ἀμείνω παρασκευάζειν
αὐτὸν ἰσχύν· εἰκὸς δὲ τοὺς πολεμίους ὑπονοήσειν ἄλλο μετ' αὐτοῦ στράτευμα εἶναι.
235 τούτοις πεισθεὶς αὐτὸς μὲν ἐν ταῖς Παρεμβολαῖς ἔμεινεν, ἐκπέμπων δὲ τοὺς φίλους καὶ
τοὺς στρατηγοὺς ἐπὶ τὸν πόλεμον φείσασθαι τοῦ παιδὸς Ἀβεσσαλώμου εἰ κρατήσειεν
236 ἠντιβόλει. συμβολῆς δὲ γενομένης ἔργα χειρῶν τε καὶ τόλμης παρ' ἀμφοτέρων τῶν στρατευ-
237 238 μάτων ἐπεδείκνυτο καὶ ἔρις ἐγένετο καρτερά, νικῶσι δὲ οἱ Δαυίδου, φεύγοντας δὲ τοὺς μὲν
239 ᾕρουν, τοὺς δὲ ἀνῄρουν. οἱ δὲ τοῦ Δαυίδου ὥρμησαν ἐπὶ Ἀβεσσάλωμον. ὁ δὲ ἐπιβὰς τῆς
βασιλικῆς ἡμιόνου ἔφευγε· φερόμενος δὲ μετὰ ῥύμης ἐμπλακείσης αὐτῷ τῆς κόμης τραχεῖ
δένδρῳ παραδόξως ἀνακρεμᾶται. καὶ τὸ μὲν κτῆνος ὑπὸ ὀξύτητος ἐχώρει προσωτέρω, ὃ δ'
240 ἐκ τῶν κλάδων ᾐώρητο. τοῦτον ἰδών τις τῶν Δαυίδου στρατιωτῶν ἐδήλωσεν Ἰωάβῳ, καὶ
πεντήκοντα σίκλους ἂν αὐτῷ δεδωκέναι τοῦ στρατηγοῦ φήσαντος, εἰ βαλὼν ἀπέκτεινε τὸν
241 Ἀβεσάλωμον, „οὐδ' εἰ χιλίους, εἶπεν, ἔμελλές μοι παρέξειν, τοῦτ' ἂν ἐποίησα". ὁ δὲ
κελεύσας αὐτῷ δεῖξαι ποῦ τὸν Ἀβεσσάλωμον ἴδοι κρεμάμενον, τοξεύσας κατὰ τῆς καρδίας
242 ἀπέκτεινε. καταχθεὶς δ' ὁ νεκρὸς καὶ εἰς χάσμα βαθὺ ῥιφθεὶς ἐπιχώννυται λίθοις.
244 246 καὶ ὁ μὲν λαὸς εἰς τὰ οἰκεῖα διεσπάρη. τὸν Χουσὶ δὲ ὁ Ἰώαβος ἄγγελον τῆς νίκης ἀπέστειλε
πρὸς Δαυίδην. ὁ δὲ τοῦ Σαδώκου τοῦ ἀρχιερέως υἱὸς Ἀχιμᾶς ἐπιτομωτέραν γινώσκων
247 248 ὁδὸν τὸν Χουσὶ προφθάνει καὶ μεταξὺ τῶν πυλῶν καθεζομένῳ τῷ βασιλεῖ νίκην εὐαγγε-
250 λίζεται. ἐρομένου δὲ εἴ τι καὶ περὶ τοῦ παιδὸς ἔχει λέγειν, μὴ εἰδέναι εἶπεν ἢ ὅτι βοῆς ἤκουσε
251 διωκόντων ἐκεῖνον. παραγενομένου δὲ τοῦ Χουσὶ καὶ τὴν νίκην σημήναντος περὶ τοῦ παιδὸς
252 ἠρώτα. ὁ δὲ „ἐχθροῖς, εἶπε, τοῖς σοῖς οἷα συμβέβηκεν Ἀβεσσαλώμῳ γένοιτο". ταῦτα ἀκούσας
ἐπὶ τὸ ὑψηλότατον τῆς πόλεως ἀναβὰς ἀνεκαλεῖτο τὸν υἱὸν τυπτόμενος τὰ στέρνα καὶ τὴν
253 κεφαλὴν σπαραττόμενος. ἡ στρατιὰ δὲ καὶ Ἰώαβος οὕτως τοῦ βασιλέως πενθοῦντος
254 ᾐσχύνθη μετὰ τοῦ τῶν νενικηκότων σχήματος εἰς τὴν πόλιν εἰσελθεῖν. Ἰώαβος δ' εἴσεισι
257 πρὸς αὐτὸν καὶ διαλεχθεὶς ἀπέστρεψεν ἀπὸ τῆς λύπης καὶ μετασχηματίσας ἑαυτὸν ὁ
βασιλεὺς πρὸς τὴν τοῦ πλήθους θέαν ὤφθη τοῖς στρατιώταις.

258 Οἱ δ' ἐκ τῆς μάχης ἀναχωρήσαντες τῶν Ἑβραίων διεπέμποντο κατὰ πόλεις συνελθεῖν
259 καὶ παρακαλέσαι Δαυίδην παύσασθαι τῆς ὀργῆς, τῶν πραγμάτων δὲ προνοεῖν ὡς καὶ
260 πρότερον τὴν βασιλείαν ἀπολαβόντα. οἱ δ' ἀρχιερεῖς Σάδωκος καὶ Ἀβιάθαρος τοῖς ἄρχουσι
τῆς Ἰούδα φυλῆς διαλεχθέντες, ὡς οὐ χρεὼν ἄλλας φυλὰς πρὸ ἐκείνης χειροτονῆσαι Δαυίδην
262 βασιλέα συγγενῆ οὖσαν, ἔπεισαν. καὶ πέμπει παραχρῆμα ἡ τοῦ Ἰούδα φυλὴ παρακαλοῦσα
εἰς τὴν ἰδίαν αὐτοῦ ἐπανελθεῖν βασιλείαν. τὸ δ' αὐτὸ καὶ πάντες ἐποίουν οἱ Ἰσραηλῖται
263 προτρεψαμένου τοῦ Ἀμεσᾶ. ἐντεῦθεν εἰς Ἱεροσόλυμα ὁ βασιλεὺς παραγίνεται τῆς Ἰούδα
φυλῆς πρὸ τῶν ἄλλων ὑπαντησάσης αὐτῷ πρὸς τὸν Ἰόρδανον. καὶ ὁ Γηρᾶ παῖς
Σεμεεὶς ὑπήντησε μετὰ χιλίων ἀνδρῶν Βενιαμιτῶν καὶ Σιβᾶς ὁ ἀπελεύθερος Σαούλου
264 μετὰ τῶν παίδων αὐτοῦ πεντεκαίδεκα ὄντων. προσπεσὼν δὲ Σεμεεὶς καὶ κατασχὼν
266 αὐτοῦ τοὺς πόδας ἐδεῖτο συγγνῶναι περὶ τῶν εἰς αὐτὸν ἡμαρτημένων. ὁ δὲ „σήμερον

2 συνήθει, post ῃ una litt. erasa Busb. — 8 συμβουλῆς man. 1 Busb. — 26 εἰσελθεῖν εἰς τὴν πόλιν transposuit m. 1 Busb.



Zonaras I p. 136 Bonn.

ἄρχομαι τῆς βασιλείας, ἔφη· διὸ πᾶσιν ἀφιέναι τοῖς ἀσεβήσασιν ὄμνυμι. σύ τε, εἶπεν, ὦ
Σεμεεί, θάρρει". ὁ δὲ προσκυνήσας προῆγεν. ἀπήντησε δ' αὐτῷ καὶ Μεμφιβοσθὴς 267
ῥυπαράν τε ἐσθῆτα περικείμενος καὶ τὴν κόμην βαθεῖαν καὶ κατημελημένην ἔχων· μετὰ
γὰρ τὴν Δαυίδου φυγὴν οὔτ' ἐκείρατο οὔτε ἐκάθηρε τὴν ἐσθῆτα. προσκυνήσαντος 268
δ' αὐτοῦ ἐπυνθάνετο ὁ βασιλεύς, τί δήποτε οὐ συνεξῆλθεν αὐτῷ καὶ τῆς φυγῆς
ἐκοινώνησεν. ὁ δὲ ἀδίκημα τοῦτ' ἔλεγεν εἶναι Σιβᾶ· κελευσθεὶς γὰρ παρασκευάσαι τὰ
πρὸς τὴν ἔξοδον οὐκ ἐφρόντισεν. εἰ δὲ τὰς βάσεις εἶχον ἐρρωμένας, οὐκ ἂν ἀπελείφθην 269
σου. ἐπὶ τούτῳ δέ γε καὶ προσδιέβαλε καὶ κατεψεύσατο κακουργῶν". ταῦτα εἰπόντος 271
Μεμφιβοσθοῦ συγγινώσκειν εἶπε καὶ τὸ ἥμισυ τῆς οὐσίας αὐτοῦ ἀποδοθῆναι ἐκέλευσε.
Βέρζελον δὲ τὸν Γαλααδίτην προπέμψαντα αὐτὸν μέχρι τοῦ Ἰορδάνου παρεκάλει Δαυίδης 272
συνελθεῖν εἰς Ἱεροσόλυμα γηρωκομηθησόμενον καὶ ὡς πατέρα ἐπιμεληθησόμενον. ὁ δὲ 273
παρῃτεῖτο καὶ καταλιπὼν τὸν υἱὸν Ἀχάμανον τοῦ βασιλέως αἰτήσαντος οἴκαδε ἐπανέστρεψε. 274 275
παραγίνεται δ' εἰς Γάλγαλα Δαυίδης, καὶ ἀφικνοῦνται ἐκεῖ οἱ τῆς χώρας πρῶτοι μετὰ 276
πολλῆς πληθύος καὶ τὴν Ἰούδα φυλὴν κατεμέμφοντο λάθρα πρὸς αὐτὸν ἐλθοῦσαν. οἱ δ'
ἄρχοντες τῆς φυλῆς μὴ δυσχεραίνειν αὐτοὺς ἠξίουν προληφθέντας· συγγενεῖς γὰρ εἶναι τοῦ
βασιλέως. οἱ δὲ τῶν Ἰσραηλιτῶν ἡγεμόνες „οὐ γὰρ πάντων ἡμῶν εἶναι κρίνεται συγγενής, 277
μόνων δ' ὑμῶν;" τοιαῦτα διαλεχθέντων τῶν ἡγεμόνων ἀνήρ τις πονηρὸς καὶ στάσει χαίρων 278
ὄνομα Σαβαῖος τῆς Βενιαμίτιδος φυλῆς μέγα βοήσας πρὸς τὸ πλῆθος εἶπεν· „οὔτ' ἔχει
τίς ἡμῶν παρὰ Δαυίδῃ μοῖραν οὔτε κλῆρον παρὰ τῷ Ἰεσαίου παιδί". καὶ μετὰ τοὺς 279
λόγους σαλπίσας κέρατι σημαίνει πόλεμον πρὸς τὸν βασιλέα, καὶ πάντες ἠκολούθησαν
ἐκείνῳ Δαυίδην καταλιπόντες· μόνη δ' αὐτῷ παρέμεινεν ἡ Ἰούδα φυλὴ καὶ κατέστησαν
αὐτὸν εἰς τὸ ἐν Ἱεροσολύμοις βασίλειον. Δαυίδης δὲ ἀποδείκνυσι τὸν Ἀμεσᾶν στρατηγὸν 280
κελεύσας στρατιὰν ὅσην δύναται συναγαγόντα ἐκ τῆς Ἰούδα φυλῆς μεθ' ἡμέρας τρεῖς πρὸς
αὐτὸν ἐλθεῖν, ἵνα παραδοὺς αὐτῷ πᾶσαν τὴν δύναμιν πέμψῃ πολεμήσοντα τῷ Σαβαίῳ.
βραδύνοντος δὲ τοῦ Ἀμεσᾶ φησὶ πρὸς Ἰώαβον οὐκ εἶναι συμφέρον ἀνοχὴν τῷ Σαβαίῳ 281
διδόναι, μὴ γενόμενος ἐν πλείονι παρασκευῇ μειζόνων κακῶν αἴτιος γένηται. τὴν οὖσαν 282
οὖν παραλαβὼν δύναμιν καὶ τοὺς ἑξακοσίους μετὰ Ἀβεσαίου δίωκε τὸν πολέμιον". Ἰώαβος 283
δὲ μὴ μελήσας ἐξώρμησε ἐπὶ τὸν Σαβαῖον. ἤδη δ' ἐν Γαβαῶ γενομένου τοῦ Ἀμεσᾶ πολλὴν
ἄγοντος δύναμιν ἀπήντησεν αὐτῷ. διεζωσμένος δὲ μάχαιραν ὁ Ἰώαβος προσιόντος ἀσπά- 284
σασθαι τοῦ Ἀμεσᾶ τὴν μάχαιραν αὐτομάτως ἐκπεσεῖν τῆς θήκης ἐποίησε. βαστάσας δ'
αὐτὴν ἀπὸ τῆς γῆς καὶ τῇ ἑτέρᾳ τὸν Ἀμεσᾶν ὡς καταφιλήσων τοῦ γενείου λαβόμενος εἰς
τὴν γαστέρα πλήξας ἀπέκτεινεν. ἀποκτείνας δ' αὐτὸν ἐδίωκε τὸν Σαβαῖον, καὶ πᾶς ὁ 286 287
λαὸς ἠκολούθει τῷ Ἰωάβῳ. μαθὼν δ' ἐν ὀχυρᾷ πόλει τυγχάνειν αὐτὸν Ἀβελμακᾶ λεγομένῃ, 288
παραγενόμενος ἐκεῖ καὶ χάρακα παρ' αὐτὴν πηξάμενος ἐπολιόρκει. γύναιον δέ τι σῶφρον 289
καὶ συνετὸν ἐκ τοῦ τείχους προσκαλεῖται τὸν Ἰώαβον καί „τί δὴ σπεύδεις μητρόπολιν
Ἰσραηλιτῶν καταβαλεῖν καὶ πορθῆσαι" ἠρώτα. ὁ δὲ λαβεῖν τὸν ἀντάραντα τῷ βασιλεῖ 290
Σαβαῖον ἀπῄτει καὶ παύσασθαι τῆς πολιορκίας. ἡ δὲ μικρὸν ἐπισχεῖν δεηθεῖσα καταβαίνει 291
πρὸς τοὺς πολίτας καὶ διαλεχθεῖσα τούτοις πείθει τὴν κεφαλὴν ἀποτεμόντας Σαβαίου 292

7 ἦχον Busb. — ἐρωμένας man. 1 Busb. — 11 εἰς i. ras. Busb. — 14 κατεμέμφοιντο Busb. — 19 ὑμῶν Henn. — 23 πρὸς] ὡς Iosephus. — 25 φησὶ] ἔλεγεν Iosephus. — 27 ἐδίωκε ex corr. Busb. — 33 τυγχάνων man. 1 Busb. — 33 λεγομένην Busb. — 37 μικρὸν .... 38 ἀποτεμόντας in ras. circiter 50—60 litt. Busb.

Zonaras I p. 137 Bonn.

*ῥίψαι ταύτην εἰς τὸ Ἰωάβου στρατόπεδον. τούτου γενομένου σημήνας ἀνακλητικὸν ὁ
στρατηγὸς ἄπεισιν εἰς Ἱεροσόλυμα καὶ παντὸς ἀποδείκνυται πάλιν τοῦ λαοῦ στρατηγός.*

294 *Μετὰ δὲ ταῦτα τῆς χώρας λιμῷ φθειρομένης ἱκετεύσαντος Δαυίδου δηλοῖ διὰ τῶν
προφητῶν ὁ θεὸς βούλεσθαι τοὺς Γαβαωνίτας ἐκδικίας τυχεῖν ἣν αὐτοὶ θελήσουσιν, οὓς
295 Σάουλος ὁ βασιλεὺς ἀπέκτεινεν ἐξαπατήσας μὴ φυλάξας τοὺς ὅρκους, οὓς αὐτοῖς ὁ στρα-
296 τηγὸς Ἰησοῦς ὤμοσε καὶ ἡ γερουσία. μεταπέμπεται οὖν τοὺς Γαβαωνίτας καὶ τίνος
βούλονται τυχεῖν ἐπηρώτα. τῶν δ' ἐκ τοῦ γένους Σαούλου ἑπτὰ παῖδας λαβεῖν ἀξιωσάντων
ὁ βασιλεὺς ἀναζητήσας παρέδωκεν αὐτοῖς Ἰεβοσθοῦ φεισάμενος τοῦ Ἰωνάθου παιδός.
297 298 λαβόντες δ' οὓς ἐβούλοντο ἐκόλασαν. ἤρξατο δ' ὕειν παραχρῆμα ὁ θεός. στρατεύεται δὲ
μετὰ χρόνον ὁ βασιλεὺς ἐπὶ Παλαιστηνοὺς καὶ τρεψάμενος αὐτοὺς ἐμονώθη διώκων καὶ
299 γενόμενος ἔκλυτος ὤφθη πρός τινος, ὃς ἦν ἀπόγονος τῶν Γιγάντων. οὗτος ὥρμησεν ἀπο-
στραφεὶς ἀποκτεῖναι τὸν βασιλέα· παρεῖτο γὰρ ὑπὸ τοῦ κόπου. φανείς δ' Ἀβεσαῖος ὁ
Ἰάβου ἀδελφὸς τὸν μὲν βασιλέα παραβὰς κείμενον ὑπερήσπισεν, ἀπέκτεινε δὲ τὸν
300 πολέμιον. διὸ τὸ πλῆθος σὺν τοῖς ἡγεμόσιν ὥρκωσαν αὐτὸν μηκέτι πρὸς μάχην ἀπαν-
301 τῆσαι σὺν αὐτοῖς. συνελθόντων δὲ τῶν Παλαιστηνῶν εἰς Γάζαν πόλιν ἀκούσας ὁ βασιλεὺς
ἔπεμψεν ἐπ' αὐτοὺς στρατιάν. ἠρίστευσε δὲ τότε Ἀβάκχης ὁ Χετταῖος εἷς τῶν περὶ Δαυίδην
302 ἀνδρειότατος καὶ αἴτιος τῆς νίκης ἐγένετο. καὶ πάλιν ἐπολέμησαν οἱ Παλαιστηνοί, καὶ
στρατιὰν ἐπ' αὐτοὺς Δαυίδου πέμψαντος ἠρίστευσε Νεφὰν ὁ συγγενὴς αὐτοῦ τῷ πάντων
ἀνδρειοτάτῳ Παλαιστηνῶν μονομαχήσας καὶ ἀποκτείνας αὐτὸν καὶ τοὺς ἄλλους εἰς φυγὴν
303 τρέψας. διαλιπόντες δ' ὀλίγον ἐστράτευσαν πρὸς τῇ πόλει τῶν ὅρων τῆς Ἑβραίων χώρας
οὐκ ἄποθεν. ἦν δ' αὐτοῖς ἀνὴρ τὸ μὲν ὕψος πηχῶν ἕξ, δακτύλους δ' ἐν ἑκατέρᾳ τῶν
304 χειρῶν καὶ τῶν βάσεων ἓξ εἶχε. τούτῳ μονομαχήσας Ἰωνάθης ἀνεῖλεν αὐτὸν καὶ τῆς
νίκης ῥοπὴ γέγονε. μετὰ δὲ ταύτην τὴν μάχην οὐκέτι τοῖς Ἰσραηλίταις ἐπολέμησαν.*

305 *Ἀπηλλαγμένος δὲ ἤδη πολέμων ὁ Δαυίδης καὶ βαθείας ἀπολαύων εἰρήνης ᾠδὰς εἰς
τὸν θεὸν καὶ ὕμνους συνετάξατο ποικίλου μέτρου· τοὺς μὲν γὰρ τριμέτρους, τοὺς δὲ πεντα-
μέτρους ἐποίησεν. ὄργανά τε κατασκευάσας ἐδίδαξε πρὸς αὐτὰ τοὺς Λευίτας ὑμνεῖν τὸν
306 θεὸν κατά τε τὰ σάββατα καὶ τὰς ἄλλας ἑορτάς. ἡ δὲ τῶν ὀργάνων ἰδέα τοιαύτη τίς
ἐστιν· ἡ μὲν κιννύρα δέκα χορδαῖς ἐξημμένη τύπτεται πλήκτρῳ, ἡ δὲ ναύλα δώδεκα
φθόγγους ἔχουσα τοῖς δακτύλοις κρούεται, κύμβαλά τε ἦν πλατέα καὶ μεγάλα χάλκεα.
307 τῷ δὲ βασιλεῖ πάντες ἦσαν οἱ περὶ αὐτὸν ἀνδρεῖοι· τούτων δὲ οἱ διασημότατοι καὶ λαμπροὶ
308 τὰς πράξεις τριάκοντα καὶ ὀκτώ, ὧν τρεῖς, Ἴσαμος υἱὸς Ἀχεμαίου καὶ Ἐλεάζαρος υἱὸς Δωδίου
309 312 καὶ Σαβαῖος υἱὸς Ἤλου, Δαυίδου καλὸν εἰπόντος ὕδωρ ἐν τῇ πατρίδι αὐτοῦ εἶναι τὸ ἐν
τῷ λάκκῳ τῷ πρὸς τῇ πύλῃ καὶ εἴ τις αὐτῷ κομίσειεν ἐκ τούτου πιεῖν μᾶλλον ἂν χαρίσαιτό
313 οἱ ἢ εἰ πολλὰ χρήματα δοίη, παραχρῆμα ἐκδραμόντες καὶ διὰ μέσου τοῦ τῶν πολεμίων
312 ὁρμήσαντες στρατοπέδου, τῆς παρεμβολῆς τῶν ἐχθρῶν ἐν τῇ κοιλάδι κειμένης, ἣ μέχρι
313 Βηθλεὲμ διατείνει, ἧκον εἰς Βηθλεὲμ καὶ τοῦ ὕδατος ἀρυσάμενοι πάλιν διὰ τῆς παρεμ-
βολῆς ὑπέστρεψαν τῶν Παλαιστηνῶν καταπλαγέντων αὐτῶν τὸ θράσος καὶ τὴν εὐψυχίαν
314 καὶ ἠρεμούντων. ὁ δὲ βασιλεὺς οὐκ ἔπιεν ἐκ τοῦ ὕδατος κινδύνῳ καὶ αἵματι φήσας αὐτὸ
κεκομίσθαι, ἔσπεισε δὲ τῷ θεῷ ὑπὲρ τῆς σωτηρίας εὐχαριστῶν τῶν ἀνδρῶν.*

11 *ἐπιστραφεὶς* Iosephus. — 13 *Ἰωάβου* Iosephus. — 21 *αὐτὸς* Busb. — 25 *ποικίλου*, post λ una litt. erasa Busb. — 28 *νάβλα* Iosephus. — 34 *ἢ* om. Busb.



Zonaras I p. 139 Bonn.

*Βουληθεὶς δὲ γνῶναι πόσαι μυριάδες εἰσὶ τοῦ λαοῦ, ἐκλαθόμενος τῶν Μωσέως ἐντολῶν 318
ἐὰν ἐξαριθμηθῇ τὸ πλῆθος εἰπόντος ὑπὲρ ἑκάστης κεφαλῆς τελέσειν τῷ θεῷ ἡμίσικλον,
προσέταξεν Ἰωάβῳ τῷ στρατηγῷ πάντα τὸν ὄχλον ἐξαριθμῆσαι. ὁ δὲ τοὺς ἄρχοντας τῶν 319
φυλῶν παραλαβὼν καὶ τὸ πλῆθος ὅσον ἐστὶ κατανοήσας ὑπέστρεψε μετὰ μῆνας ἐννέα καὶ
ἡμέρας εἴκοσιν. ἦν δὲ ὁ ἀριθμὸς τῶν φυλῶν μυριάδες ἐνενήκοντα ὅπλα βαστάζειν καὶ 320
στρατεύεσθαι δυναμένων, τὴν γὰρ Βενιαμίτιδα φυλὴν ἐξαριθμῆσαι οὐκ ἔφθασε τοῦ βασι-
λέως μετανοήσαντος. ἡ δὲ Ἰούδα καθ' ἑαυτὴν τεσσαράκοντα μυριάδες ἦσαν. ἔπεμψε δὲ 321
ὁ θεὸς πρὸς Δαυίδην Γάδον τὸν προφήτην τρεῖς αἱρέσεις αὐτῷ κομίζοντος, ὅπως ἐκλέξηται
τούτων ἣν ἂν δοκιμάσῃ· πότερον θέλει λιμὸν γενέσθαι κατὰ τὴν χώραν ἐπὶ ἔτη ἑπτά, ἢ
τρεῖς μῆνας ὑπ' ἐχθρῶν πολεμηθῆναι καὶ ἡττηθῆναι ἢ λοιμὸν ἐνσκῆψαι καὶ
νόσον ἐπὶ τρεῖς ἡμέρας τοῖς Ἑβραίοις. ὁ δὲ εἰς ἀμηχανίαν ἐμπεσὼν σφόδρα 322
ἦν συγκεχυμένος. τοῦ δὲ προφήτου ἀποκρίνασθαι ἀπαιτοῦντος, εἶπε πολὺ κρεῖττον 323
εἰς τὰς τοῦ θεοῦ χεῖρας ἐμπεσεῖν ἢ τὰς τῶν πολεμίων. ταῦθ' ὁ προφήτης ἀπήγγειλε τῷ 324
θεῷ· καὶ ὁ λοιμὸς ἐπῆλθε τοῖς Ἑβραίοις. ἀρξαμένης δ' ἕωθεν τῆς λοιμικῆς νόσου φθείρειν 326
αὐτοὺς ἕως ὥρας ἀρίστου ἀπώλοντο μυριάδες ἑπτά. ὁ δὲ βασιλεὺς σάκκον ἐνδεδυμένος 327
ἔκειτο κατὰ γῆς, ἀναβλέψας δὲ καὶ θεασάμενος τὸν ἄγγελον φερόμενον ἐπὶ τὰ Ἱεροσόλυμα
καὶ μάχαιραν ἐσπασμένον εἶπε πρὸς τὸν θεόν, ὡς αὐτὸς εἴη κολασθῆναι δίκαιος ὁ ποιμήν, 328
τὰ δὲ ποίμνια σώζεσθαι μηδὲν ἐξαμαρτόντα. ἀκούσας δὲ ὁ θεὸς τῆς ἱκεσίας ἔπαυσε τὸν 329
λοιμὸν καὶ διὰ τοῦ προφήτου Γάδου ἐκέλευσεν αὐτὸν ἀναβῆναι εἰς τὴν ἅλω τοῦ Ἰεβουσαίου
Ὀρωνᾶ καὶ οἰκοδομήσαντα βωμὸν ἐκεῖ θῦσαι τῷ θεῷ. Δαυίδης δ' εὐθὺς ἀπῄει. τοῦ δὲ 331
Ὀρωνᾶ πυθομένου, τί παρήει πρὸς τὸν δοῦλον ὁ δεσπότης, εἶπεν ὠνήσασθαι παρ' αὐτοῦ
τὴν ἅλω, ὅπως βωμὸν ἐν αὐτῇ στήσας θυσιάσῃ τῷ θεῷ. ὁ δὲ καὶ τὴν ἅλω εἶπε καὶ τὰ
ἄροτρα καὶ τοὺς βόας ὁλοκαυτώσειν χαρίζεσθαι. ὁ δὲ βασιλεὺς δέχεσθαι μὲν εἶπε τὴν 332
χάριν, τιμὴν δ' ἠξίου αὐτὸν πάντων λαμβάνειν καὶ ὠνεῖται παρ' αὐτοῦ τὴν ἅλω σίκλων
πεντήκοντα καὶ οἰκοδομήσας τὸν βωμὸν ἱερούργησε καὶ θυσίας ἀνήνεγκεν εἰρηνικάς. 333
λέγεται δὲ εἰς ἐκεῖνον τὸν τόπον ἀγαγεῖν Ἅβραμον τὸν υἱὸν αὐτοῦ ὥστε ὁλοκαυτῶσαι.
ἰδὼν δ' ὁ Δαυίδης τὸν θεὸν τὴν θυσίαν ἡδέως προσδεξάμενον τὸν τόπον ἐκεῖνον ὅλον βωμὸν 334
προσηγόρευσε καὶ οἰκοδομῆσαι ναὸν αὐτῷ ἔκρινε· καὶ ὁ θεὸς τὸν προφήτην στείλας πρὸς αὐτὸν
ἐκεῖ ναὸν ἔλεγεν οἰκοδομήσειν αὐτοῦ τὸν υἱὸν τὸν μέλλοντα τὴν βασιλείαν διαδέχεσθαι. συνε- 335
κόμισεν οὖν ὕλην πρὸς τὴν οἰκοδομὴν τοῦ ναοῦ σίδηρον πολὺν καὶ χαλκὸν καὶ ξύλα κέδρινα
πολλὰ καὶ παμμεγεθέστατα, Τυρίων ταῦτα χορηγούντων καὶ Σιδωνίων. καλέσας δὲ τὸν 337
παῖδα Σαλομῶνα κατασκευάσαι τῷ θεῷ ναὸν αὐτὸν ἐκέλευσε λέγων, ὡς αὐτὸν βουλόμενον
τοῦτο κωλύσειεν ὁ θεὸς αἵματι καὶ πολέμοις πεφυρμένον, προείποι δὲ ὅτι Σαλομῶν οἰκοδο-
μήσει τὸν ναὸν αὐτῷ παῖς νεώτατος κληθησόμενος τὸ ὄνομα, οὗ προνοήσει καὶ πατήρ, τὴν
δὲ χώραν εὐδαίμονα θήσει τοῖς ἄλλοις τὲ καὶ εἰρήνῃ καὶ πολέμων ἀπαλλαγῇ. ἐπεὶ τοίνυν 338
σὺ πρὸ τῆς γενέσεως ἀπεδείχθης βασιλεὺς ὑπὸ τοῦ θεοῦ, πειρῶ γενέσθαι τῆς τούτου προ-
νοίας ἄξιος καὶ τὸν ναὸν σπούδασον ἀποδοῦναι τῷ θεῷ μὴ καταπλαγεὶς τὸ μέγεθος τοῦ ἔργου 339
μηδὲ ἀποδειλιάσας πρὸς αὐτό· πάντα γάρ σοι ἕτοιμα ποιήσω. γίνωσκε δὲ χρυσοῦ μὲν ἤδη 340*

2 *ἐξαριθμῇ* Henn. — 8 *κομίζοντα* Iosephus. — 12 *ἀπαιτοῦντος*] *κελεύοντος* Iosephus. — 14 *ἐπῆλθε*, *ἐ* i. ras. man. 2 Busb. — 22 *στήσας*] *κατασκευάσῃ* Iosephus. — 23 *τοὺς*, *ου* i. ras. Busb. — 31 *χορηγούντων*] *πεμπόντων* Iosephus. — 34 *καὶ*] *ὡς* Iosephus.

Zonaras I p. 140 Bonn.

τάλαντα συνειλεγμένα μύρια, δέκα δὲ ἀργύρου μυριάδας ταλάντων, χαλκὸν δὲ καὶ σίδηρον
ἀριθμοῦ κρείττονα ξύλων τὲ καὶ λίθων ὕλην ἄφθονον, ἔχεις δὲ καὶ λατόμων πολλὰς
μυριάδας καὶ τεκτόνων· ἂν δέ τι τούτοις προσδέῃ, σὺ προσθήσεις. γίνου τοίνυν ἄριστος
342 τῷ θεῷ αὐτὸν ἔχων προστάτην. οἰκοδομηθέντος δὲ τοῦ ναοῦ τὴν κιβωτὸν ἀποθέσθαι
343 προσέταξε καὶ τὰ ἅγια σκεύη. ταῦτα περὶ τοῦ ναοῦ διελέχθη. πρεσβύτερος δὲ ὢν ἤδη
καὶ τοῦ σώματος αὐτῷ ψυχομένου διὰ τὴν ἡλικίαν δύσριγος ὑπῆρχε. συμβουλευσάντων
344 δὲ τῶν ἰατρῶν ὅπως εὐειδὴς ἐπιλεγεῖσα κόρη συγκαθεύδῃ τῷ βασιλεῖ καὶ θάλπῃ αὐτόν,
εὑρίσκεται μία πασῶν τὸ εἶδος ἀρίστη Ἀβισάκη τὸ ὄνομα, ἣ συγκοιμωμένη τῷ βασιλεῖ
συνεθέρμαινεν αὐτὸν μόνον· ὑπὸ γήρως γὰρ ἀσθενὴς ἦν πρὸς τὰ ἀφροδίσια.
345 Ὁ δὲ τέταρτος υἱὸς Δαυίδου εὐειδὴς καὶ μέγας Ἀδωνίας καλούμενος τὴν διάνοιαν ὡς
346 βασιλεύσων ἐπῆρτο καὶ ἅρματα πολλὰ κατεσκεύασεν καὶ ἵππους. συνεργὸν δὲ εἶχε τὸν
στρατηγὸν Ἰώαβον καὶ τὸν ἀρχιερέα Ἀβιάθαρον, ἀντέπραττον δὲ ὁ ἀρχιερεὺς Σάδωκος καὶ
ὁ προφήτης Νάθαν καὶ Βαναῖος ὁ ἐπὶ τῶν σωματοφυλάκων καὶ Σουμούεις ὁ Δαυίδου φίλος
347 καὶ πάντες οἱ ἀνδρειότατοι. τοῦ δὲ Ἀδωνία παρασκευασαμένου δεῖπνον καὶ πάντας
καλέσαντος τοὺς ἀδελφοὺς χωρὶς Σαλομῶνος, παραλαβόντος δὲ καὶ Ἰώαβον καὶ Ἀβιάθαρον
καὶ τοὺς ἄρχοντας τῆς Ἰούδα φυλῆς, Σάδωκον δὲ καὶ Νάθαν καὶ Βαναῖον καὶ πάντας
348 τοὺς ἐξ ἐναντίας αἱρέσεως μὴ καλέσαντος, Νάθας ἐμήνυσε πρὸς τὴν Σαλομῶνος μητέρα
Βηρσαβεήν, ὡς Ἀδωνίας βασιλεύς ἐστι καὶ τοῦτ' ἀγνοεῖ Δαυίδης, καὶ πρὸς Δαυίδην ἐλθοῦ-
349 σαν ταῦτα λέγειν συνεβούλευεν. ἡ δὲ πάντα τῷ βασιλεῖ καθὼς ὁ προφήτης ὑπέθετο
350 διεξέρχεται καὶ παρεκάλει κατὰ νοῦν ἔχειν, ὡς μετὰ τὴν ἀπαλλαγὴν βασιλεύσας Ἀδωνίας
351 Σαλομῶνα καὶ αὐτὴν ἀναιρήσει. διαλεγομένης δ' ἔτι αὐτῆς εἰσελθὼν Νάθας, εἰ τήμερον
352 τὸν Ἀδωνίαν ἀποδείξειε βασιλέα καὶ παραδοίη τὴν ἀρχὴν ἐπυνθάνετο· δίκαιον δ' εἶναι
353 γινώσκειν ἅπαντας, εἰ κατὰ σὴν γνώμην ἐγένετο". ταῦτα τοῦ Νάθα φήσαντος
„ὄμνυμί σοι, φησί, τὸν μέγιστον θεόν, ἦ μὴν τὸν υἱόν σου Σαλομῶνα βασιλεύσειν, ὡς καὶ
354 πρότερον ὤμοσα, καὶ τοῦτο ἔσται σήμερον". καὶ αὐτίκα Σάδωκον μεταπέμπεται τὸν
ἀρχιερέα καὶ Βαναῖον καὶ κελεύει παραλαβεῖν Νάθαν τὲ τὸν προφήτην καὶ τοὺς περὶ τὴν
355 αὐλὴν ὁπλίτας ἅπαντας, καὶ ἀναβιβάσαντας τὸν υἱὸν αὐτοῦ Σαλομῶνα ἐπὶ τὴν βασιλικὴν
ἡμίονον ἔξω τῆς πόλεως ἀγαγεῖν ἐπὶ τὴν πηγὴν τὴν λεγομένην Σιὼν καὶ περιχρίσαντας τὸ
356 ἅγιον ἔλαιον ἀποδεῖξαι βασιλέα. καὶ ἀκολουθοῦντας διὰ μέσης τῆς πόλεως τοῖς κέρασι
σαλπίζοντας βοᾶν εἰς αἰῶνα Σαλομῶνα βασιλεύσειν, ἵνα γνῷ πᾶς ὁ λαὸς ἀποδεδειγμένον
357 αὐτὸν ὑπὸ τοῦ πατρὸς βασιλέα. οἱ δὲ μηδὲ μικρὸν διαλιπόντες τὰ ἐντεταλμένα πληροῦσι
358 καὶ παραγαγόντες εἰς τὸν οἶκον τὸν βασιλικὸν καθίζουσιν αὐτὸν ἐπὶ τοῦ θρόνου, καὶ πᾶς
359 ὁ λαὸς ἐπ' εὐωχίαν εὐθὺς ἐτράπη καὶ ἑορτὴν χορεύων καὶ αὐλοῖς τερπόμενος. ὡς δ' ᾔσθοντο
τῆς βοῆς Ἀδωνίας τὲ καὶ οἱ παρόντες ἐπὶ τὸ δεῖπνον ἐταράχθησαν. ἐν τούτοις εἰστρέχει
360 ὁ τοῦ Ἀβιαθάρου παῖς Ἰωνάθης δηλῶν πάντα αὐτοῖς τὰ περὶ τὸν Σαλομῶνα καὶ τὴν
τοῦ βασιλέως γνώμην. Ἀδωνίας δὲ καὶ οἱ κεκλημένοι πάντες ἔφυγον πρὸς ἑαυτοὺς ἕκαστοι.
361 Ἀδωνίας δὲ φοβηθεὶς ἱκέτης γίνεται τοῦ θεοῦ τῶν τοῦ θυσιαστηρίου κεράτων ἐπιλαβόμενος
362 καὶ πίστεις παρὰ τοῦ βασιλέως ἀξιῶν λαβεῖν μὴ μνησικακῆσαι αὐτῷ. ὁ δὲ τῆς μὲν τότε
ἁμαρτίας αὐτὸν ἀφῆκεν εἰπών, εἰ ληφθείη πάλιν καινοποιῶν τι, ἑαυτῷ τῆς τιμωρίας αἴτιος

6 τὴν ἡλικίαν] τὸν χρόνον Iosephus. — 10 καλούμενος] προσαγορευόμενος Iosephus. — 11 κατεσκεύασε ex corr. Busb. — 16 Βαναῖον] ουβαναῖον Busb. — 21 διαλεγόμενος δέ τι Busb. — 33 ἑορτῇ Busb.



Zonaras I p. 142 Bonn.

ἔσεσθαι. Δαυίδης δὲ εἰς Ἱεροσόλυμα συγκαλεῖ τοὺς ἄρχοντας καὶ τοὺς ἱερέας καὶ τοὺς 363
Λευίτας, καὶ ἐκκλησίαν συναγαγὼν στὰς ἐφ' ὑψηλοῦ βήματος ἔλεξεν· „ἀδελφοί, 370 371
καὶ τῷ προγόνῳ ἡμῶν Ἰακώβῳ δυοκαίδεκα παίδων γενομένων ἴστε τὸν Ἰούδα 372
ἀποδειχθέντα βασιλέα, καὶ ἐμὲ τῶν ἀδελφῶν ἐξ ὄντων προκριθέντα παρὰ τοῦ θεοῦ εἰς
ἡγεμονίαν. οὕτως οὖν ἀξιῶ κἀγὼ τοὺς ἐμαυτοῦ παῖδας μὴ στασιάζειν πρὸς ἀλλήλους
Σαλομῶνος τὴν βασιλείαν παρειληφότος, ἀλλ' ἐπισταμένους ὡς ὁ θεὸς αὐτὸν ἐξελέξατο
φέρειν ἡδέως αὐτὸν δεσπότην". ὁ μὲν οὖν βασιλεὺς ταῦτα εἰπὼν ἐπαύσατο, τὴν δὲ 375
διαγραφὴν τῆς οἰκοδομίας τοῦ ναοῦ πάντων ὁρώντων ἔδωκε Σαλομῶνι θεμελίων καὶ οἴκων
ὑπερῴων, ὅσοι γε τὸ πλῆθος καὶ πηλίκοι τὸ ὕψος καὶ τὸ εὖρος γένοιντο, ὅσα τὲ σκεύη χρυσᾶ
καὶ ἀργυρᾶ. παρώρμησε δὲ καὶ λόγοις αὐτόν τε περὶ τὸ ἔργον καὶ τοὺς ἄρχοντας καὶ τὴν 376
τῶν Λευιτῶν φυλὴν εὐμαρῆ τὴν οἰκοδομίαν ἔσεσθαι φήσας, πολλῶν μὲν ταλάντων χρυσοῦ 377
πλειόνων δ' ἀργύρου καὶ ξύλων καὶ τεκτόνων καὶ λατόμων ἤδη παρεσκευασμένων σμαράγδου
τὲ καὶ πάσης ἰδέας λίθου πολυτελοῦς. καὶ νῦν δ' ἔτι ἄλλα τρισχίλια τάλαντα χρυσοῦ 378
καθαροῦ παρέξειν ἔλεγεν εἰς τὸ ἄδυτον καὶ εἰς τὸ ἅρμα τοῦ θεοῦ τοὺς Χερουβεῖς. σιωπή-
σαντος δὲ τοῦ Δαυίδου πολλὴ προθυμία πάντων ἐγένετο· χρυσοῦ μὲν γὰρ ὑπέστησαν 379
εἰσοίσειν τάλαντα πεντακισχίλια καὶ στατῆρας μυρίους, ἀργύρου δὲ μύρια τάλαντα καὶ
σιδήρου μυριάδας ταλάντων πολλάς· καὶ εἴ τινι λίθος ἦν πολυτελὴς ἐκόμισε καὶ παρέδωκεν
εἰς τοὺς θησαυρούς, ὧν ἐπετρόπευεν ὁ Μωσέως ἔκγονος Ἰλάρος. ἐπὶ τούτοις ἡσθεὶς ὁ 380
Δαυίδης ηὐλόγησε τὸν θεόν. τῇ δὲ ἐπιούσῃ θυσίαν τῷ θεῷ παρέστησαν μόσχους χιλίους 382
καὶ κριοὺς τοσούτους καὶ χιλίους ἀμνούς, οὓς ὡλοκαύτωσαν· ἔθυσαν δὲ καὶ τὰς εἰρηνικὰς
θυσίας πολλὰς μυριάδας ἱερείων κατασφάξαντες. καὶ δι' ὅλης τῆς ἡμέρας ἑόρτασεν ὁ
βασιλεὺς σὺν παντὶ τῷ λαῷ, καὶ Σαλομῶνα δεύτερον ἔχρισαν τῷ ἐλαίῳ καὶ ἀπέδειξε
βασιλέα καὶ Σάδωκον ἀρχιερέα τῆς πληθύος ἁπάσης. καὶ εἰς τὸν πατρῷον θρόνον καθί-
σαντες Σαλομῶνα ἀπ' ἐκείνης τῆς ἡμέρας ὑπήκουον αὐτοῦ.
Μετ' ὀλίγον δὲ Δαυίδης καταπεσὼν εἰς νόσον ὑπὸ γήρως καὶ συνιδὼν ὅτι μέλλει 383
τελευτᾶν, καλέσας τὸν υἱὸν Σαλομῶνα διελέχθη πρὸς αὐτὸν τοιαῦτα· „ἐγὼ μέν, ὦ τέκνον,
εἰς πατέρας τοὺς ἐμοὺς ἀπαλλάσσομαι, παραινῶ δέ σοι δικαίῳ μὲν εἶναι πρὸς τοὺς ἀρχο- 384
μένους, εὐσεβεῖ δὲ πρὸς τὸν βασιλεύσαντά σε θεόν, φυλάττειν δ' αὐτοῦ τοὺς νόμους καὶ
τὰς ἐντολάς. τοιοῦτον δὲ σαυτὸν παρέχων καθέξεις ἡμῶν τὴν βασιλείαν τῷ γένει. μέμνησο 385 386
δὲ καὶ τῆς Ἰωάβου παρανομίας τοῦ στρατηγοῦ ἀποκτείναντος διὰ ζηλοτυπίαν δύο στρατη-
γοὺς δικαίους καὶ ἀγαθούς, Ἀβέννηρόν τε καὶ τὸν Ἀμεσᾶν, ὧν ὅπως ἄν σοι δόξῃ τὸν
θάνατον ἐκδίκησον. παρατίθεμαι δέ σοι καὶ τοὺς Βερζέλου τοῦ Γαλααδίτου παῖδας, 387
οὓς ἐν τιμῇ καὶ προνοίᾳ πάσῃ τοῦτ' ἐμοὶ χαριζόμενος ἕξεις. καὶ Σεμεεὶν δὲ τὸν ἐκ τῆς 388
Βενιαμίτιδες φυλῆς, ὃς πολλὰ βλασφημήσας με παρὰ τὴν φυγήν, ὅτε εἰς Παρεμβολὰς ἐπο-
ρευόμην, ἀπήντησεν ἐπὶ τὸν Ἰόρδανον καὶ πίστεις ἔλαβεν ὡς μηδὲν παθεῖν, νῦν ἐπιζητήσας
εὔλογον αἰτίαν ἄμυναι". ταῦτα παραινέσας ἀπέθανεν ἔτη βιώσας ἑβδομήκοντα, βασιλεύσας 389
ἑπτὰ μὲν ἐν Χεβρῶνι τῆς Ἰούδα φυλῆς καὶ μῆνας ἕξ, ἐν Ἱεροσολύμοις δὲ ἁπάσης τῆς
χώρας τριάκοντα καὶ τρία, ἄριστος ἀνὴρ γενόμενος καὶ πᾶσαν ἀρετὴν ἔχων, ἣν ἔδει τῷ 390
βασιλεῖ. ἔθαψε δὲ αὐτὸν ὁ παῖς Σαλομὼν ἐν Ἱεροσολύμοις διαπρεπῶς τοῖς τε ἄλλοις καὶ 392

2 συναγαγὼν] συγκαλέσας Iosephus. — 9 γε] τε Iosephus. — 32 βερζεβέλου Busb.

Zonaras I p. 143 Bonn.

*δὴ καὶ πλοῦτον αὐτῷ πολὺν καὶ ἄφθονον συνεκήδευσεν, ὧν τὴν ὑπερβολὴν τεκμήραιτο ἄν*
393 *τις ἐκ τοῦ λεχθησομένου· μετὰ γὰρ χρόνον ἐτῶν χιλίων καὶ τριακοσίων Ὑρκανὸς ὁ ἀρχιερεὺς*
*πολιορκούμενος ὑπὸ Ἀντιόχου τοῦ Εὐσεβοῦς ἐπικληθέντος υἱοῦ Δημητρίου, ἀνοίξας ἕνα*
*οἶκον τῶν ἐν τῷ Δαυίδου μνήματι καὶ βαστάσας τρισχίλια τάλαντα μέρος ἔδωκεν Ἀντιόχῳ*
394 *καὶ οὕτως ἔλυσε τὴν πολιορκίαν. μετὰ δὲ τοῦτον ἐτῶν πολλῶν διαγενομένων Ἡρώδης ὁ*
*βασιλεὺς ἕτερον ἀνοίξας οἶκον ἀνείλετο χρήματα πολλά. ταῖς μέντοι γε θήκαις τῶν βασι-*
*λέων οὐδεὶς αὐτῶν ἐνέτυχεν· ἦσαν γὰρ ὑπὸ γῆν μηχανικῶς κεκηδευμέναι πρὸς τὸ μὴ*
*φανερὸν εἶναι τοῖς εἰς τὸ μνῆμα εἰσιοῦσι.*

*περιέχει ὁ λόγος χρόνον ἐτῶν μ΄.*

## *Φλαυΐου Ἰωσήπου Ἰουδαϊκῆς ἀρχαιολογίας λόγος η΄.*

2 *Σαλωμῶντος νέου παραλαβόντος τὴν βασιλείαν ἅπας ὁ λαὸς ἐπευφήμησεν, ὡς εἰκὸς*
3 *ἐπ᾽ ἀρχομένῳ βασιλεῖ. Ἀδωνίας δέ, ὃς καὶ τοῦ πατρὸς ἔτι ζῶντος ἐπεχείρησε τὴν ἀρχὴν*
4 *κατασχεῖν, παρελθὼν πρὸς τὴν μητέρα τοῦ βασιλέως ἤρξατο λέγειν, ὅτι γινώσκει μὲν τὴν*
*βασιλείαν καὶ αὐτὴ διὰ τὴν ἡλικίαν καὶ τὴν τοῦ πλήθους προαίρεσιν οὖσαν αὐτοῦ, μετα-*
5 *βάσης δὲ πρὸς Σαλωμῶνα κατὰ τὴν θεοῦ γνώμην στέργει. ἐδεῖτο δ᾽ οὖν πεῖσαι τὸν ἀδελφὸν*
*δοῦναι αὐτῷ πρὸς γάμον τὴν τῷ πατρὶ συγκοιμωμένην Ἀβισάκην· μὴ γὰρ πλησιάσαι τὸν*
6 *πατέρα διὰ τὸ γῆρας αὐτῇ, μένειν δ᾽ ἔτι παρθένον. ἡ δὲ Βηρσαβεὴ διακονήσειν αὐτῷ*
*σπουδαίως ὑπέσχετο καὶ καταπράξασθαι αὐτῷ τὸν γάμον. ὥρμησεν μὲν οὖν εὐθὺς πρὸς τὸν*
7 *υἱόν, καὶ προϋπαντήσαντος αὐτῇ τοῦ παιδὸς καὶ περιπλακέντος ἠσπάσατο καὶ καθίσασα*
8 9 *δοῦναι τὴν παρθένον Ἀβισάκην Ἀδωνίᾳ τῷ ἀδελφῷ πρὸς γάμον παρεκάλει. λαβὼν δὲ*
*πρὸς ὀργὴν τὸν λόγον ἀποπέμπεται τὴν μητέρα μειζόνων ὀρέγεσθαι πραγμάτων εἰπὼν*
*Ἀδωνίαν καὶ θαυμάζειν, πῶς οὐ παραχωρῆσαι καὶ τῆς βασιλείας ὡς πρεσβυτέρῳ παρακαλεῖ,*
*καὶ μεταπεμψάμενος Βαναῖον τὸν ἐπὶ τῶν σωματοφυλάκων ἀποκτεῖναι προσέταξεν Ἀδωνίαν.*
10 *καλέσας δὲ καὶ Ἀβιάθαρον τὸν ἀρχιερέα „θανάτου μέν, εἶπε, ῥύεταί σε τά τε ἄλλα ὅσα*
*τῷ πατρί μου συνέκαμες καὶ ἡ κιβωτός, ἣν αὐτῷ συνήνεγκας. ταύτην δὲ σοι τὴν τιμωρίαν*
*ἐπιτίθημι ταξαμένῳ μετ᾽ Ἀδωνία καὶ τὰ ἐκείνου φρονήσαντι· μήτε ἐνθάδε ἴσθι μήτε εἰς*
11 *ὄψιν ἀπάντα τὴν ἐμήν, ἀλλ᾽ εἰς τὴν πατρίδα πορευθεὶς ἐν τοῖς ἀγροῖς ζῆθι“. κωλύεται*
*μὲν οὖν ἀπὸ τῆς ἱερατικῆς τιμῆς ὁ Ἰθαμάρου οἶκος καθὼς καὶ τῷ αὐτοῦ πάππῳ Ἠλεὶ ὁ*
13 *θεὸς προεῖπεν, μετέβη δὲ εἰς τὸ Φινεέσσου γένος πρὸς Σάδωκον. Ἰώαβος δὲ ὁ στρατηγὸς ἀκούσας*
*τὴν ἀναίρεσιν Ἀδωνία περιδεὴς ἐγένετο καὶ κίνδυνον ὑποπτεύων καταφεύγει ἐπὶ τὸ θυσιαστήριον.*
14 *ὁ δὲ βασιλεὺς πέμψας Βαναῖον ἐκέλευσεν ἄγειν αὐτὸν ἐπὶ τὸ δικαστήριον ἀπολογησόμενον.*
*Ἰώαβος δ᾽ οὐκ ἔφη καταλείψειν τὸ ἱερόν, ἀλλ᾽ αὐτοῦ τεθνήξεσθαι μᾶλλον ἢ ἀλλαχοῦ.*
15 *Βαναίου δὲ τοῦτο τῷ βασιλεῖ δηλώσαντος προσέταξεν ἐκεῖ τὴν κεφαλὴν αὐτοῦ ἀποτεμεῖν,*
*ὡς βούλεται, καὶ ταύτην δοῦναι δίκην ὑπὲρ τῶν δύο στρατηγῶν, οὓς ἀνοσίως ἀπέκτεινε.*
16 *καὶ Βαναίας τὰ κελευσθέντα ποιήσας αὐτὸς ἀποδείκνυται στρατηγὸς τῆς πάσης δυνάμεως,*
17 *Σάδωκον δὲ ποιεῖ μόνον ἀρχιερέα ὁ βασιλεύς. Σεμεείσῳ δὲ προσέταξεν μένειν ἐν Ἱερο-*

11 *λαὸς*] *ὄχλος* Iosephus. — 12 *ἐπερχομένῳ* Busb. — 16 *ἀβιοάμην* Busb. — 27 *κωλύεται*] *καταλύεται* Iosephus. — 23 *Ἰθαμάρου*] in marg. *ἀβιαθάρου οἶκος* Busb



Zonaras I p. 144 Bonn.

*σολύμοις καὶ μὴ διαβαίνειν τὸν χείμαρρον Κεδρῶνα, παρακούσαντι δὲ θάνατον ἔσεσθαι*
*τὸ πρόστιμον. καὶ ὅρκους δ᾽ αὐτὸν περὶ τούτου ἠνάγκασε ποιήσασθαι. Σεμεεὶς δὲ χαίρειν* 18
*οἷς προσέταξε Σαλομὼν φήσας καὶ ταῦτα ποιήσειν προσομόσας ἐν Ἱεροσολύμοις διέτριβε.*
*μαθὼν δὲ δούλους αὐτοῦ ἀποδράσαντας ἐν Γήττῃ τυγχάνειν ὥρμησεν ἐπ᾽ αὐτούς. ἐπανελθόντα* 19
*δὲ ὁ βασιλεὺς αἰσθόμενος, καλέσας αὐτόν „οὐ σύ, φησίν, ὤμοσας μὴ ἐξελεύσεσθαί ποτε*
*ἐκ ταύτης τῆς πόλεως εἰς ἄλλην; οὐκ ἂν ἀποδράσῃς τῆς ἐπιορκίας τὴν δίκην, ἀλλὰ καὶ* 20
*ὧν εἰς τὸν πατέρα μου ὕβρισας τιμωρήσομαί σε“. κελευσθεὶς οὖν Βαναῖος ἀπέκτεινεν*
*αὐτόν.*
*Ἄγεται δὲ Σαλομὼν Φαραώθου τοῦ τῶν Αἰγυπτίων βασιλέως θυγατέρα, καὶ τὰ τείχη* 21
*τῶν Ἱεροσολύμων πολλῷ μείζονα καὶ ὀχυρώτερα κατεσκεύασεν. εἰς δὲ Γιβρῶνα παραγενό-* 22
*μενος ἐπὶ τοῦ χαλκέου θυσιαστηρίου τοῦ κατασκευασθέντος ὑπὸ Μωυσέος ἔθυσε τῷ θεῷ*
*καὶ χίλια ὠλοκαύτωσεν ἱερεῖα. φανεὶς δὲ κατὰ τοὺς ὕπνους αὐτῷ ὁ θεὸς ἐκείνης τῆς*
*νυκτὸς ἐκέλευσεν αἰτεῖσθαι, τίνας ἀντὶ τῆς εὐσεβείας δώσει αὐτῷ δωρεάς. Σολομῶν δὲ* 23
*φησί „δός μοι, δέσποτα, νοῦν ὑγιῆ καὶ φρόνησιν ἀγαθήν, οἷς ἂν τὸν λαὸν τἀληθῆ καὶ τὰ*
*δίκαια κρίνοιμι“. τούτοις ἥσθη τοῖς αἰτήμασιν ὁ θεὸς καὶ ἐπηγγείλατο δώσειν σύνεσιν* 24
*καὶ σοφίαν οἵαν οὐκ ἄλλος ἔσχεν, προσθεῖναι δὲ καὶ πλοῦτον δόξαν τὲ καὶ νίκην πολεμίων,*
*φυλάξειν δὲ καὶ τοῖς ἐγγόνοις αὐτοῦ τὴν βασιλείαν ἐπιπλεῖστον ὑπισχνεῖται, ἂν δίκαιος*
*διαμένῃ καὶ πειθόμενος αὐτῷ καὶ τὸν πατέρα μιμούμενος ἐν οἷς ἦν ἄριστος.*
*Μετὰ ταῦτα γυναῖκες ἧκον ἐπ᾽ αὐτὸν δύο ἑταῖραι, ὧν ἡ ἀδικεῖσθαι δοκοῦσα ἔφη· „βασιλεῦ,* 27
*οἰκῶ μὲν μετὰ ταύτης, συνέβη δ᾽ ἄμφω τεκεῖν ἄρρενα κατὰ τὴν αὐτὴν ἡμέραν. αὕτη δ᾽* 28
*ἐπικοιμηθεῖσα τῷ ἑαυτῆς παιδὶ τρίτης ἡμέρας ἀποκτείνει, καὶ τοῦτο μὲν ἐμοῦ κοιμωμένης εἰς*
*τὰς ἀγκάλας μου τίθησιν, τὸ δ᾽ ἐμὸν πρὸς ἑαυτὴν μεταφέρει. πρωῒ δὲ τὸ μὲν ἐμὸν οὐχ* 29
*εὗρον, τὸ δὲ ταύτης νεκρὸν ὁρῶ μοι παρακείμενον. ἀπαιτοῦσα δὲ τὸν ἐμὸν υἱὸν καὶ μὴ*
*ἀπολαμβάνουσα καταπέφευγα ἐπὶ τὴν παρὰ σοῦ βοήθειαν“. ταῦτ᾽ εἰπούσης ὁ βασιλεὺς* 30
*ἀνέκρινε τὴν ἑτέραν. τῆς δὲ τὸ ἑαυτῆς παιδίον ζῆν λεγούσης, τῆς ἀντιδίκου δὲ τεθνηκέναι,*
*καὶ μηδὲν κακουργῆσαι διαβεβαιουμένης, πάντες ὡς ἐπ᾽ αἰνίγματι διηπόρουν. ὁ βασιλεὺς δὲ*
*κομισθῆναι κελεύσας ἄμφω τὰ παιδία τό τε νεκρὸν καὶ τὸ ζῶν, ἑνὶ τῶν σωματοφυλάκων* 31
*προσέταξεν ἀμφότερα διχοτομῆσαι, ὅπως ἑκάτερα λάβωσιν ἀνὰ ἥμισυ τοῦ τε ζῶντος καὶ*
*τοῦ τετελευτηκότος. ἐπὶ τούτῳ πᾶς ὁ λαὸς ἐχλεύαζεν ὡς μειράκιον τὸν βασιλέα. μεταξὺ* 32
*δὲ τῆς μὲν ἀπαιτούσης καὶ ἀληθοῦς μητρὸς ἀνακραγούσης τοῦτο μὴ ποιεῖν, ἀρκεῖσθαι γὰρ*
*βλέπειν αὐτὸ ζῶν κἂν ἀλλότριον δοκῇ, τῆς δ᾽ ἑτέρας ἑτοίμως ἐχούσης διαιρούμενον ἰδεῖν*
*τὸ παιδίον, ὁ βασιλεὺς τῇ μὲν ἀνακραγούσῃ τὸ παιδίον προσέκρινε, μητέρα γὰρ αὐτὴν* 33
*ἀληθῶς εἶναι, τῆς δὲ ἄλλης κατέγνω πονηρίαν. τοῦτο μέγα δεῖγμα τῆς τοῦ βασιλέως φρο-* 34
*νήσεως ἐνόμισε τὸ πλῆθος καὶ ὡς θείαν ἔχοντι διάνοιαν τοῦ λοιποῦ προσεῖχε. τοσαύτη* 42
*δ᾽ ἦν ἣν ὁ θεὸς Σαλομῶνι παρεῖχε φρόνησιν καὶ σοφίαν, ὡς πάντας ὑπερβάλλειν ἀνθρώπους*
*καὶ τοὺς ἀρχαίους. συνέταξεν δὲ καὶ βιβλία περὶ ᾠδῶν καὶ μελῶν πέντε πρὸς τοῖς χιλίοις* 44
*καὶ παραβολῶν καὶ εἰκόνων βίβλους τρισχιλίους· καθ᾽ ἕκαστον γὰρ δένδρου εἶδος παραβολὴν*
*εἶπεν ἀπὸ ὑσώπου ἕως κέδρου. τὸν αὐτὸν δὲ τρόπον καὶ περὶ κτηνῶν καὶ τῶν πετεινῶν*
*ἁπάντων ζώων καὶ τῶν νηκτῶν καὶ τῶν ἀερίων· οὐδεμίαν γὰρ φύσιν ἠγνόησεν οὐδὲ*

1 *παρακούσαντα* Busb. — 4 *μαθὼν*] *ἀκούσας* Iosephus. — 13 *σαλομῶν* Henn. — 28 *ἑκάτεραι* Iosephus. — 39 *νυκτῶν* Busb.

Zonaras I p. 145 Bonn.

παρῆλθεν ἀνεξέταστον, ἀλλ' ἐν πάσαις ἐφιλοσόφησε καὶ τὴν ἐπιστήμην τῶν ἐν αὐτοῖς
45 ἰδιωμάτων ἄκραν ἐπεδείξατο. παρέσχε δ' αὐτῷ μαθεῖν ὁ θεὸς καὶ τὴν κατὰ τῶν δαιμόνων
τέχνην εἰς ὠφέλειαν καὶ θεραπείαν τοῖς ἀνθρώποις, ἐπῳδάς τὲ συνταξάμενος οἷς παρη-
γόρει τὰ νοσήματα καὶ τρόπους ἐξορκώσεων κατέλιπεν, οἷς ἐνδούμενα τὰ δαιμόνια ὡς
46 μηκέτι ἐπανελθεῖν ἐκδιώξουσι. καὶ αὕτη μέχρι νῦν παρ' ἡμῖν ἡ θεραπεία πλεῖστον
ἰσχύει· ἱστόρησα γάρ τινα Ἐλεάζαρον τῶν ὁμοφύλων Οὐεσπασιανοῦ παρόντος καὶ τῶν
υἱῶν αὐτοῦ καὶ χιλιάρχων καὶ ἄλλου στρατιωτικοῦ πλήθους τοὺς ὑπὸ τῶν δαιμόνων λαμβανο-
47 μένους ἀπολύοντα τούτων. ὁ δὲ τρόπος τῆς θεραπείας τοιοῦτος ἦν· προσφέρων ταῖς ῥισὶ
τοῦ δαιμονιζομένου τὸν δακτύλιον ἔχοντα ὑπὸ τὴν σφραγῖδα ῥίζαν ἐξ ὧν ὑπέδειξε Σαλομὼν
ἔπειτα ἐξεῖλκεν ὀσφραινομένῳ διὰ τῶν μυκτήρων τὸ δαιμόνιον, καὶ πεσόντος εὐθὺς τοῦ
ἀνθρώπου μηκέτι εἰς αὐτὸν ἐπανελθεῖν ὥρκου, Σαλομῶνος μεμνημένος καὶ τὰς ἐπῳδὰς
48 ἃς ἐκεῖνος συνέθηκεν ἐπιλέγων. βουλόμενος δὲ παραστῆσαι ὁ Ἐλεάζαρος, ὅτι ταύτην ἔχει
τὴν ἰσχύν, ἐτίθει μικρὸν ἔμπροσθεν ποτήριον πλῆρες ὕδατος ἢ ποδόνιπτρον καὶ τῷ δαι-
49 μονίῳ προσέταττεν ἐξιόντι τοῦ ἀνθρώπου ταῦτ' ἀνατρέψαι. γινομένου δὲ τούτου σαφὴς
ἡ Σαλομῶνος καθίστατο σύνεσις καὶ σοφία.

50 52 Γράφει δὲ Σαλομὼν τῷ Τυρίων βασιλεῖ Ῥώμῳ φίλῳ ὄντι πατρῴῳ συμπέμψαι τινὰς
53 τοῖς τοῦ Σολομῶντος εἰς Λίβανον κόψοντας ξύλα εἰς οἰκοδομὴν τοῦ οἴκου τοῦ θεοῦ. ὁ δ'
57 ὑπουργῆσαι πρὸς ταῦτα ὑπέσχετο. Σολομὼν δὲ τοῦτον ἠμείψατο οἷς ἠξίωσε σίτον μὲν
αὐτῷ κατ' ἔτος πέμπων δισμυρίους κόρους καὶ τοσούτους ἐλαίου βάδους. ὁ δὲ βάδος
δύναται ξέστας ἑβδομήκοντα β'· τὸ δ' αὐτὸ μέτρον καὶ οἴνου παρεῖχε.

61 Τῆς δὲ οἰκοδομίας τοῦ ναοῦ Σολομὼν ἤρξατο τέταρτον ἔτος ἤδη τῆς βασιλείας ἔχων
μηνὶ δευτέρῳ, ὃν Μακεδόνες Ἀρτεμίσιον καλοῦσιν, Ἑβραῖοι δὲ Ἰάρ, μετὰ ἔτη πεντακόσια
καὶ ἐννενήκοντα καὶ δύο τῆς ἀπ' Αἰγύπτου τῶν Ἰσραηλιτῶν ἐξόδου, μετὰ δὲ χίλια καὶ
εἴκοσι ἔτη τῆς Ἀβράμου εἰς τὴν Χαναναίαν ἐκ τῆς Μεσοποταμίας ἀφίξεως, ἀπὸ δὲ τῆς
62 ἐπομβρίας μετὰ χίλια καὶ τετρακόσια καὶ τεσσαράκοντα· ἀπὸ δὲ Ἀδάμου ἕως οὗ τὸν ναὸν
63 ᾠκοδόμησε Σαλομὼν διεληλύθει τὰ πάντα ἔτη τρισχίλια καὶ ἑκατὸν καὶ δύο. βάλλεται
μὲν οὖν τῷ ναῷ θεμελίους ὁ βασιλεὺς ἐπὶ μήκιστον τῆς γῆς βάθος ὕλης λίθων ἰσχυρᾶς,
64 ἀνήγαγον δ' αὐτὸν ἄχρι τῆς ὀροφῆς ἐκ λευκοῦ λίθου πεποιημένον. ἦν δὲ τὸ ὕψος ἑξή-
κοντα πήχεων, τῶν δ' αὐτῶν καὶ τὸ μῆκος, εὖρος δὲ εἴκοσι. κατὰ τούτου δὲ ἄλλος ἦν
ἐγηγερμένος ἴσος τοῖς μέτροις, ὥστε εἶναι τὸ πᾶν ὕψος τῷ ναῷ πηχῶν ρκ'. τέτραπτο δὲ
65 πρὸς τὴν ἀνατολήν. τὸ δὲ πρόναον αὐτοῦ προέστησαν εἴκοσι μὲν τὸ μῆκος πρὸς τὸ εὖρος
τοῦ οἴκου τεταμένον, πλάτος δὲ πήχεις δέκα, εἰς ὕψος δὲ ἀνεγηγερμένον πηχῶν ρκ'. περιῳ-
66 κοδόμησε δὲ τὸν ναὸν ἐν κύκλῳ τριάκοντα βραχέσιν οἴκοις, ἕκαστος δὲ τούτων εὖρος μὲν
εἶχε πέντε πήχεις, μήκους δὲ τοὺς αὐτούς, ὕψους δὲ εἴκοσιν. ἐπῳκοδόμηνται δ' ἐπὶ τούτοις
ἕτεροι οἶκοι ἄνωθεν καὶ πάλιν ἄλλοι κατ' αὐτῶν ἴσοι καὶ τοῖς μέτροις καὶ τῷ ἀριθμῷ, ὡς
τὸ πᾶν ὕψος αὐτοὺς λαμβάνειν τῷ κάτωθεν οἴκῳ παραπλήσιον· ὁ γὰρ ὑπερῷος οὐκ ἦν
71 περιῳκοδομημένος. διελὼν δὲ τὸν ναὸν εἰς δύο τὸν μὲν ἔνδοθεν οἶκον εἴκοσι πήχεων
72 ἐποίησεν ἄδυτον εἶναι, τὸν δὲ τεσσαράκοντα πηχῶν ἅγιον ναὸν ἀπέδειξεν. ἀνέθηκε δ'

1 ἐν αὐταῖς Iosephus. — 3 οἷς] αἷς Iosephus. — 13 ποδάνιπτρον Henn. — 14 ἀναστρέψαι Busb. — 16 Ῥώμῳ] Εἰρώμῳ Iosephus. -- 18 σίτου Iosephus. — 22 Ἀρτεμίσιον] δύστρον Henn.



Zonaras I p. 146 Bonn.

εἰς τὸ ἄδυτον εἴκοσι πηχῶν τὸ εὖρος τῶν δ' αὐτῶν καὶ τὸ μῆκος δύο Χερουβὶμ ὁλοχρύσους
πηχῶν ἑκάτερον τὸ ὕψος πέντε, δύο δ' ἦσαν ἑκατέρῳ πτέρυγες ἐπὶ πέντε πήχεις ἐκτετα- 73
μέναι. διὸ καὶ μακρὰν οὐκ ἀλλήλων αὐτὰς ἔστησεν, ἵνα τῶν πτερύγων τῇ μὲν ἅπτωνται
τοῦ κατὰ νότον τοίχου τοῦ ἀδύτου, τῇ δὲ κατὰ βορέαν, αἱ δ' ἄλλαι πτέρυγες αὐταῖς
συνάπτουσαι τεθείσῃ μεταξὺ αὐτῶν τῇ κιβωτῷ σκέπη τυγχάνωσι. τὰς δὲ Χερουβὶμ
οὐδεὶς ὁποῖαι τινὲς ἦσαν εἰπεῖν οὐδ' εἰκάσαι δύναται. κατέστρωσε δὲ τοῦ ναοῦ τὸ ἔδαφος 74
ἐλάσμασι χρυσοῦ. τοὺς δὲ τοίχους κεδρίναις διαλαβὼν σανίσι χρυσὸν αὐταῖς ἐνετόρευσεν, 68
ὥστε στίλβειν ἅπαντα τὸν ναὸν καὶ περιλάμπεσθαι τὰς ὄψεις τῶν εἰσιόντων ὑπὸ τῆς
αὐγῆς τοῦ χρυσοῦ. συνελόντι δ' εἰπεῖν οὐδὲν εἴασε τοῦ ναοῦ μέρος ἔξωθεν οὔτε ἔνδοθεν, 75
ὃ μὴ χρυσὸς ἦν. ἐποίησε καὶ στύλους δύο χαλκέους, ὧν τὸν μὲν ἔστησεν ἐκ δεξιῶν τοῦ 77
προπυλαίου, τὸν δὲ κατὰ τὸ ἀριστερόν. ἐχώνευσε δὲ θάλασσαν χαλκῆν εἰς ἡμισφαίριον 79
ἐσχηματισμένην· ἐκλήθη δὲ θάλασσα διὰ τὸ μέγεθος· ἦν γὰρ ὁ λουτὴρ τὴν διάμετρον
πηχῶν δέκα ἐπὶ παλαιστιαῖον πάχος κεχωνευμένος. περιεστήκεσαν δὲ αὐτὴν μόσχοι 80
δώδεκα πρὸς τὰ κλίματα τῶν τεσσάρων ἀνέμων ἀποβλέποντες, ὥστ' αὐτοῖς ἐπικαθέζεσθαι
τὸ ἡμισφαίριον. ἐδέχετο δὲ ἡ θάλασσα βάδους τρισχιλίους. ἐποίησε δὲ καὶ λουτήρων 81
δέκα βάσεις. προσεξειργάσατο δὲ καὶ λουτῆρας στρογγύλους χαλκοῦς, ὧν ἕκαστος ἐχώρει 85
τεσσαράκοντα χόεις, τεσσάρων πήχεων ὕψος ὢν καὶ τοσούτοις ἔχων ἀπ' ἀλλήλων διεστῶτα
τὰ χείλη. τίθησι δὲ τούτους ἐπὶ τῶν δέκα βάσεων τῶν κληθεισῶν μεχωνώθ. πληρώσας 87
δὲ ὕδατος αὐτοὺς τὲ καὶ τὴν θάλασσαν τὴν μὲν ἀπέδειξεν εἰς τὸ νίπτειν τοὺς εἰς τὸν
ναὸν εἰσιόντας ἱερεῖς ἐν αὐτῇ τὰς χεῖρας καὶ τοὺς πόδας μέλλοντας ἀναβαίνειν ἐπὶ τὸν
βωμόν, τοὺς δὲ λουτῆρας εἰς τὸ καθαίρειν τὰ ἐντὸς τῶν ὁλοκαυτουμένων ζῴων καὶ τοὺς
πόδας. κατεσκεύασε δὲ καὶ θυσιαστήριον χάλκεον τὸ εὖρος καὶ τὸ μῆκος ἕκαστον πήχεων 88
εἴκοσι τὸ δὲ ὕψος δέκα πρὸς τὰς ὁλοκαυτώσεις. ἐποίησε δὲ αὐτοῦ καὶ τὰ σκεύη πάντα
χάλκεα, τραπεζῶν τε πλῆθος ἀνέθηκε καὶ μίαν μεγάλην χρυσέαν, ἐφ' ἧς ἐτίθεσαν τοὺς 89
ἄρτους τοῦ θεοῦ. ἐποίησε δὲ καὶ σκεύη χρυσᾶ τὲ καὶ ἀργυρᾶ εἰς μυριάδας ἀριθμούμενα καὶ 90
λυχνίας, ἐξ ὧν μία ἦν, ἣ καθ' ἡμέραν ἐκαίετο ἀκολούθως τῷ νόμῳ. ταῦτα πάντα εἶχεν
ὁ τῶν τεσσαράκοντα πηχῶν οἶκος πρὸ τοῦ καταπετάσματος τοῦ ἀδύτου· εἰς τοῦτο δὲ ἡ
κιβωτὸς ἔμελλε κεῖσθαι. ἐποίησε δὲ καὶ στολὰς ἱερατικὰς σὺν ποδήρεσι καὶ ἐπωμίσι καὶ 93
λογίῳ καὶ λίθοις χιλίας· ἡ δὲ στεφάνη, εἰς ἣν τὸν θεὸν ἔγραψε Μωυσῆς, μία ἦν καὶ
διέμεινεν ἄχρι τῆσδε τῆς ἡμέρας. καὶ σάλπιγγας καὶ στολὰς τοῖς ὑμνῳδοῖς τῶν Λευιτῶν καὶ 94
ὄργανα μουσικά, ἃ καλεῖται ναῦλαι καὶ κιννύραι, πρὸς ὑμνῳδίαν ἐξηυρημένα ἐξ ἠλέκτρου
κατεσκεύασε. περιέβαλε δὲ τοῦ ναοῦ κύκλῳ γεισὸν μὲν κατὰ τὴν ἐπιχώριον γλῶτταν 95
θριγγὸν δὲ παρ' Ἕλλησι λεγόμενον εἰς τρεῖς πήχεις ἀναγαγὼν τὸ ὕψος. τούτου δ' ἔξωθεν 96
ἱερὸν ᾠκοδόμησεν ἐν τετραγώνῳ σχήματι στοὰς ἐγείρας μεγάλας καὶ πλατείας καὶ πύλας
ὑψηλὰς ἠνεῳγμένας, ὧν ἑκάστη πρὸς ἕκαστον τῶν ἀνέμων τέτραπτο χρυσαῖς κλειομένη
θύραις. εἰς τοῦτο τοῦ λαοῦ πάντες οἱ διαφέροντες ἁγνείᾳ καὶ παρατηρήσει τῶν νόμων 97
εἰσῄεσαν. θαυμαστὸν δὲ λόγου μεῖζον ἀπέφηνε τὸ τούτων ἔξωθεν ἱερόν· μεγάλας γὰρ
χώσας φάραγγας καὶ ἀναβιβάσας εἰς τετρακοσίους πήχεις τὸ ὕψος ἰσοπέδους τῇ κορυφῇ

10 ἐποίησε] κατεσκεύασε Iosephus. — 17 τοσούτους Henn. — 18 τούτοις Busb. — 24 ἧς] οἷς Busb. — 25 μυριάδα Busb. — 29 ἐνέγραψε Henn. — 34 ἐγείρεις man. 1 Busb.

Zonaras I p. 147 Bonn.

τοῦ ὄρους ἐφ᾽ οὗ ὁ ναὸς ᾠκοδόμητο κατεσκεύασε· καὶ διατοῦτο ὕπαιθρον ὂν τὸ ἔξωθεν
98 ἱερὸν ἶσον ὑπῆρχε τῷ ναῷ. περιλαμβάνει δ᾽ αὐτὸ καὶ στοαῖς διπλαῖς μὲν τὴν κατασκευήν,
λίθου δ᾽ αὐτοφυοῦς τὸ ὕψος κίοσιν ἐπερηρεισμέναις· ὀροφαὶ δ᾽ αὐταῖς ἦσαν κέδρου φατ-
νώμασιν ἀνεξεσμέναι. τὰς δὲ θύρας τῷ ἱερῷ τούτῳ πάσας ἐπέστησεν ἐξ ἀργύρου.
99 Ἐν ἔτεσιν οὖν ἑπτὰ συντελέσας τὰ ἔργα ταῦτα ὁ Σολομῶν καὶ πλούτου καὶ προθυ-
μίας ἐπίδειξιν ποιησάμενος, ἐκέλευσεν ἅπαντα τὸν λαὸν συνελθεῖν εἰς Ἱεροσόλυμα ὀψό-
100 μενόν τε τὸν ναὸν καὶ μετακομιοῦντα τὴν κιβωτὸν εἰς αὐτόν. μόλις οὖν ἑβδόμῳ μηνὶ
συνίασιν, ἐπιχωρίως μὲν λεγομένῳ Θυρί, ὑπὸ δὲ Μακεδόνων Ὑπερβερεταίῳ. συνέδραμε δ᾽
101 εἰς τὸν αὐτὸν χρόνον καὶ ὁ τῆς σκηνοπηγίας καιρὸς ἑορτῆς μεγίστης. βαστάσαντες οὖν τὴν
κιβωτὸν καὶ τὴν σκηνήν, ἣν Μωυσῆς ἐπήξατο, καὶ πάντα τὰ τῶν θυσιῶν σκεύη μετεκό-
μιζον εἰς τὸν ναόν. προῆγον δὲ μετὰ θυσιῶν αὐτός τε ὁ βασιλεὺς καὶ ὁ λαὸς ἅπας καὶ
102 οἱ Λευῖται σπένδοντες καὶ θυμιῶντες ἀπειρόν τι θυμάτων πλῆθος. οὐδ᾽ ἔκαμον ὑμνοῦντες
103 καὶ χορεύοντες ἕως εἰς τὸν ναὸν ἦλθον. εἰσενεγκόντες δὲ τὴν κιβωτὸν εἰς τὸ ἄδυτον οἱ
ἱερεῖς μόνοι μεταξὺ τῶν δύο Χερουβὶμ κατέθεσαν· αἱ δὲ τοὺς ταρσοὺς συμπλέξασαι, οὕτω
γὰρ ὑπὸ τοῦ τεχνίτου κατεσκευάσθησαν, τὴν κιβωτὸν ὡς ὑπὸ σκηνῇ τινι καὶ
104 θόλῳ κατεσκέπησαν. εἶχε δὲ ἡ κιβωτὸς μόνας τὰς δύο λιθίνας πλάκας, αἳ
τοὺς δέκα λόγους τοὺς ὑπὸ τοῦ θεοῦ Μωυσῇ λαληθέντας ἐγγεγραμμένας ἔφερον.
τὴν δὲ λυχνίαν καὶ τὴν τράπεζαν καὶ τὸν χρύσεον βωμὸν ἔστησαν ἐν τῷ ναῷ πρὸ τοῦ
105 ἀδύτου. τὸ δὲ θυσιαστήριον τὸ χάλκεον ἵστησι πρὸ τοῦ ναοῦ ἄντικρυ τῆς θύρας, ὡς
ἀνοιχθείσης κατὰ πρόσωπον εἶναι καὶ βλέπεσθαι τὰς ἱερουργίας καὶ τὴν τῶν θυσιῶν
106 πολυτέλειαν, τὰ λοιπὰ δὲ πάντα σκεύη συναλίσας ἔνδον εἰς τὸν ναὸν κατέθετο. ἐπεὶ δὲ
πάντα διακοσμήσαντες οἱ ἱερεῖς τὰ περὶ τὴν κιβωτὸν ἐξῆλθον, πίλημα νεφέλης οὐ σκληρὸν
οὐδὲ οἷον ὥρᾳ χειμῶνος ὑετοῦ γέμον ἵσταται, κεχυμένον δὲ καὶ περικεκραμένον εἰς τὸν
ναὸν εἰσερρύη, καὶ ταῖς μὲν ὄψεσι τῶν ἱερέων ὡς μὴ δὲ καθορᾶν ἀλλήλοις ἐπεσκότει, ταῖς
δὲ διανοίαις ἁπάντων φαντασίαν παρεῖχεν ὡς τοῦ θεοῦ κατεληλυθότος εἰς τὸ ἱερὸν καὶ
107 κατεσκηνωκότος ἐν αὐτῷ. ὁ δὲ βασιλεὺς ἰδὼν τοῦτο ἐποιήσατο λόγους πρὸς τὸν
115 θεόν, οὓς τῇ θείᾳ φύσει πρέποντας ὑπελάμβανε. καὶ εὐχαριστήσας καὶ ἐπευξάμενος ἐπή-
116 κοον γενέσθαι τὸν θεὸν ἱκετεύουσι μὴ Ἑβραίοις μόνον, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις,
118 θυσίας τῷ βωμῷ προσῆγε καὶ γεμίσας τῶν ὁλοκλήρων ἱερείων ἐναργέστατον τὸν θεὸν ἡδέως
ἔγνω τὴν θυσίαν προσδεχόμενον· πῦρ γὰρ ἐξ ἀέρος διαδραμὸν καὶ πάντων ὁρώντων ἐπὶ
119 τὸν βωμὸν ἧξαν ἅπασαν τὴν θυσίαν ἥψατο καὶ κατεδαίσατο. ἐπὶ τούτοις ὁ μὲν λαὸς
ἡσθεὶς προσεκύνει πεσὼν ἐπ᾽ ἐδάφους, ὁ δὲ βασιλεὺς εὐλογεῖν ἤρξατο καὶ τὸ πλῆθος ταὐτὸ
122 ποιεῖν παρώρμα, τελέσας θυσίας ὑπέρ τε ἑαυτοῦ καὶ πάντων Ἑβραίων, μόσχους μὲν θύσας
123 μυρίους καὶ δισχιλίους, προβάτων δὲ μυριάδας δώδεκα. τὸν γὰρ ναὸν τότε πρῶτον ἔγευσεν
ἱερουργημάτων καὶ κατευωχήθησαν ἐν αὐτῷ πάντες σὺν γυναιξὶν Ἑβραῖοι καὶ τέκνοις, ἔτι
δὲ καὶ τὴν σκηνοπηγίαν καλουμένην ἑορτὴν πρὸ τοῦ ναοῦ λαμπρῶς ἐπὶ δὶς ἑπτὰ ἡμέρας
124 ἤγαγεν ὁ βασιλεὺς σὺν ἅπαντι τῷ λαῷ κατευωχούμενος. ἐπεὶ δ᾽ εἶχεν αὐτοῖς ἀποχρώντως
125 ταῦτα ἀπῄεσαν πρὸς ἑαυτοὺς ἕκαστοι. ὄναρ δ᾽ ἐπιφανὲν τῷ βασιλεῖ κατὰ τοὺς ὕπνους
126 ἐσήμανεν αὐτῷ τῆς εὐχῆς ἐπήκοον τὸν θεὸν γεγονέναι. φυλάξειν τε τὸν ναὸν ἐν αὐτῷ

6 ὀψόμενον] Iosephus ὀψόμενος Busb. — 16 δ᾽ Henn. — 17 ἐγγεγραμμένους Iosephus. — 24 ἀλλήλους Iosephus.



Zonaras I p. 148 Bonn.

μένοντα τῶν ἐγγόνων αὐτοῦ καὶ αὐτοῦ καὶ ἁπάσης τῆς πληθύος τὰ δίκαια ποιούσης, αὐτόν
δ᾽ εἰς ὕψος εὐδαιμονίας ἀνοίσειν ἄπειρον ἐμμένοντα ταῖς τοῦ πατρὸς ὑποθήκαις καὶ βασι-
λεύσειν ἀεὶ τῆς χώρας τοὺς ἐκ τοῦ γένους αὐτοῦ, προδόντα δὲ τὰ ἐπιτηδεύματα καὶ 127
ξενικοὺς θεοὺς θρησκεύσαντα πρόρριζον ἐκκόψειν καὶ τοὺς Ἰσραηλίτας πολέμοις καὶ κακοῖς
ἐξαφανίσειν μυρίοις καὶ γῆς ἀλλοτρίας καταστήσειν ἐπήλυδας, τὸν δὲ ναὸν τοῖς ἐχθροῖς 128
παραδώσειν καταπρησθησόμενον καὶ διαρπαγησόμενον, κατασκάψαι δὲ καὶ τὴν πόλιν
χερσὶ πολεμίων.
Μετὰ δὲ τὴν τοῦ ναοῦ κατασκευὴν τὴν τῶν βασιλείων οἰκοδομίαν Σολομῶν κατεβάλετο, 130
ἣν ἔτεσι τρισκαίδεκα μόλις ἀπήρτησε. καὶ αὐτὰ δὲ λόγου ἄξια κατὰ τὴν εὐδαιμονίαν 132
τῶν Ἑβραίων χώρας καὶ τοῦ βασιλέως ᾠκοδομήθη. ἐν κεφαλαίῳ δ᾽ εἰπεῖν τὴν ὅλην οἰκο- 139
δομίαν ἐκ λίθου λευκοῦ καὶ κέδρου καὶ χρυσοῦ καὶ ἀργύρου πᾶσαν ἐποιήσατο. τοὺς ὀρόφους
καὶ τοὺς τοίχους τοῖς ἐγκλειομένοις χρυσίῳ λίθοις διανθίσας, ὡς καὶ τὸν τοῦ θεοῦ ναὸν
τούτοις κατηγλάισε. πολὺν δὲ αὐτῷ χρυσὸν πλείω καὶ ἄργυρον ὁ τῶν Τυρίων βασιλεὺς 141
Εἴρωμος εἰς τὴν οἰκοδομίαν συνήνεγκεν ἔτι δὲ καὶ ξύλα κέδρου καὶ πίτυος, ἀντεδωρήσατο
δὲ καὶ Σολομῶν μεγάλαις δωρεαῖς τὸν Εἴρωμον σῖτον ἐτησίως πέμπων αὐτῷ καὶ οἶνον καὶ
ἔλαιον. πρὸς τούτοις δὲ καὶ πόλεις αὐτοῦ εἴκοσι μὲν τὸν ἀριθμὸν οὐ πόρρω δὲ τῆς Τύρου 142
κειμένας ἐχαρίσατο, ἃς ἐπελθὼν Εἴρωμος καὶ δυσαρεστήσας μὴ δεῖσθαι τῶν πόλεων εἶπε.
καὶ ἔκτοτε προσηγορεύθησαν αὗται Χαβαλῶν γῆ, ὃ μεθερμηνευόμενον κατὰ Φοινίκων γλῶτταν
οὐκ ἀρέσκον σημαίνει. καὶ σοφίσματα δὲ καὶ λόγους αἰνιγματώδεις διεπέμψατο πρὸς τὸν 143
Σολομῶνα ὁ τῶν Τυρίων βασιλεὺς ἀξιῶν αὐτὸν σαφηνίσαι. ὁ δὲ πάντα νικήσας τῷ
λογισμῷ καὶ μαθὼν αὐτῶν τὴν διάνοιαν ἐφώτισε. μέμνηται δὲ τούτων τῶν δύο βασιλέων 144
καὶ Μένανδρος ὁ μεταφράσας ἀπὸ τῆς Φοινίκων διαλέκτου τὰ Τυρίων ἀρχεῖα εἰς τὴν
Ἑλλάδα φωνήν, ἀλλὰ καὶ Δῖος τούτων ἐπιμιμνήσκεται. καὶ τὰ τῶν Ἱεροσολύμων δὲ τείχη 147 150
προσεπεσκεύασε καὶ πύργοις μεγάλοις ἐξῆρεν. ᾠκοδόμησε δὲ καὶ πόλεις μεγάλας τε καὶ πολλάς. 151
Ταῦτα ποιήσας Σολομῶν τοὺς ἔτι τῶν Χαναναίων μὴ ὑπακούοντας, οἳ ἐν τῷ 160
Λιβάνῳ διέτριβον ὄρει καὶ μέχρι πόλεως Ἀμάθης, ὑποχειρίους ποιησάμενος φόρους αὐτοῖς
ἔταξεν. ἐναυπηγήσατο δὲ ἐν τῷ Αἰγυπτιακῷ κόλπῳ σκάφη πολλὰ τῆς Ἐρυθρᾶς ἔν τινι 163
τόπῳ οὐ πόρρω Ἐλάνης πόλεως, ἣ νῦν Βερνίκη καλεῖται· αὕτη γὰρ ἡ χώρα τὸ πρὶν
Ἰουδαίων ἦν. ἔπεμψε δ᾽ αὐτῷ ὁ Τυρίων βασιλεὺς ἄνδρας κυβερνήτας καὶ τῶν θαλαττίων 164
ἐπιστήμονας ἱκανούς, οἳ πλεύσαντες μετὰ τῶν τοῦ Σολομῶντος οἰκονόμων εἰς τὴν πάλαι
μὲν Σόφειραν νῦν δὲ χρυσῆν γῆν καλουμένην τῆς Ἰνδικῆς καὶ συναθροίσαντες ὡς τετρα-
κόσια τάλαντα χρυσίου ἀνεχώρησαν πρὸς τὸν ἑαυτῶν βασιλέα. ἡ δὲ γῆς Αἰγύπτου καὶ 165
τῆς Αἰθιοπίας τότε γυνὴ ἡ βασιλεύουσα σοφίᾳ διαπεπονημένη καὶ τἆλλα θαυμαστὴ
ἀκούουσα τὴν Σολομῶνος ἀρετὴν καὶ φρόνησιν ἧκεν εἰς Ἱεροσόλυμα μετὰ πολλῆς δόξης καὶ 166
πλούτου παρασκευῆς· ἐπήγετο γὰρ καμήλους μεστὰς χρυσίου καὶ ἀρωμάτων καὶ λίθου 167
πολυτελοῦς. ὡς δ᾽ ἀφικομένην αὐτὴν ἡδέως ὁ βασιλεὺς προσεδέξατο, τά τε ἄλλα περὶ
αὐτὴν φιλότιμος ἦν καὶ τὰ προβαλλόμενα σοφίσματα ῥαδίως καὶ θᾶττον ἢ προσεδόκα τίς
ἀπελύετο. ἡ δὲ ἐξεπλήσσετο ἐπὶ τῇ σοφίᾳ Σολομῶνος οὕτως ὑπερβάλλουσαν καὶ τῆς 168
ἀκοῆς κρείττω καταμαθοῦσα, ἐθαύμαζε δὲ καὶ τὰ βασίλεια τοῦ τε κάλλους καὶ τοῦ μεγέ-

15 ἐτησίως] κατ᾽ ἔτος Iosephus. — 31 σόπφειραν Henn. — 31 συναθροίσαντας Busb. — 33 ἡ om. Henn. — 35 καμήλου Busb.

Zonaras I p. 148 Bonn.

169 θους, οὐχ ἧττον δὲ τῆς διατάξεως τῶν οἰκοδομημάτων. ὑπερεξέπληττε δὲ αὐτὴν ὅ τε
οἶκος ὁ δρυμὼν ἐπικαλούμενος Λιβάνου καὶ ἡ τῶν καθ' ἡμέραν δείπνων πολυτέλεια καὶ
τὰ τῆς παρασκευῆς αὐτοῦ καὶ διακονίας ἥ τε τῶν ὑπηρετούντων ἐσθὴς καὶ τὸ μετ' ἐπι-
στήμης αὐτῶν περὶ τὴν διακονίαν εὐπρεπές, οὐχ ἥκιστα δὲ καὶ αἱ καθ' ἡμέραν ἐπιτελού-
170 μεναι τῷ θεῷ θυσίαι καὶ τὸ τῶν ἱερέων καὶ Λευιτῶν περὶ αὐτὰς ἐπιμελές. ταῦθ' ὁρῶσα
174 ὑπερεθαύμαζε. δέδωκε δὲ τῷ βασιλεῖ δωρεὰς εἴκοσι μὲν τάλαντα χρυσίου καὶ ἑκατόν,
ἀρωμάτων δὲ πλῆθος ἀσυλλόγιστον καὶ πολυτελῆ λίθον. λέγουσι δ' ὅτι καὶ τὴν ὀποβαλ-
175 σάμου ῥίζαν, ἣν ἔτι νῦν ἡμῶν ἡ χώρα φέρει, δούσης ταύτης τῆς γυναικὸς ἔχομεν. ἀντε-
δωρήσατο δ' αὐτὴν πολλοῖς καὶ Σολομῶν ἀγαθοῖς καὶ μάλιστα ὧν κατ' ἐπιθυμίαν ἐξελέγετο.
187 καὶ ἡ μὲν εἰρημένη βασίλισσα εἰς τὴν οἰκείαν χώραν ὑπέστρεψε. Σολομῶν καὶ τὰς ὁδοὺς
τὰς ἀγούσας εἰς Ἱεροσόλυμα λίθῳ κατέστρωσε μέλανι, πρός τε τὸ ῥᾴστας εἶναι τοῖς
182 βαδίζουσι, καὶ πρὸς τὸ δηλοῦν τὸ ἀξίωμα τοῦ πλούτου καὶ τῆς ἡγεμονίας. φήμη δὲ λαμπρὰ
κύκλῳ τὴν γῆν περιήρχετο διαβοῶσα τὴν Σολομῶνος ἀρετὴν καὶ σοφίαν, ὥστε τοὺς ἁπανταχοῦ
βασιλέας ἐπιθυμεῖν εἰς ὄψιν αὐτῷ παραγενέσθαι καὶ δωρεαῖς μεγάλαις προεμφανίζειν τὴν
περὶ αὐτὸν σπουδήν.

190 Γενόμενος δὲ πάντων βασιλέων ἐνδοξότατος καὶ θεοφιλέστατος καὶ φρονήσει
καὶ πλούτῳ διενεγκὼν τῶν πρὸ αὐτοῦ τὴν ἀρχὴν τῶν Ἑβραίων ἐσχηκότων οὐκ
ἐνέμεινε τούτοις ἄχρι τελευτῆς, ἀλλὰ καταλιπὼν τὴν τῶν πατρίων ἐθισμῶν φυλακὴν οὐκ
191 εἰς ὅμοιον οἷς προειρήκαμεν αὐτοῦ τέλος κατέστρεψεν, εἰς δὲ γυναῖκας ἐκμανεὶς καὶ τὴν
τῶν ἀφροδισίων ἀκρασίαν οὐ τοῖς ἐπιχωρίοις μόνοις ἠρκεῖτο, πολλὰς δὲ καὶ ἐκ τῶν ἀλλο-
τρίων γήμας Σιδωνίας καὶ Τυρίας καὶ Ἀμμανίτιδας καὶ Ἰδουμαίας παρέβη μὲν τοὺς νόμους,
192 οἳ ἀπηγόρευσαν συνοικεῖν ταῖς οὐχ ὁμοφύλοις, τοὺς δὲ ἐκείνων ἤρξατο θρησκεύειν θεοὺς
193 ταῖς γυναιξὶ καὶ τῷ πρὸς αὐτὰς ἔρωτι χαριζόμενος, καὶ τῆς εὐνοίας καὶ φιλοστοργίας
ἠναγκάζετο παρέχειν αὐταῖς δεῖγμα τὸ βιοῦν ὡς αὐταῖς πάτριον ἦν. ἔγημε δὲ γυναῖκας
ἀρχόντων καὶ διασήμων θυγατέρας ἑπτακοσίας καὶ παλλακὰς τριακοσίας, πρὸς δὲ
194 καὶ τὴν τοῦ βασιλέως τῶν Αἰγυπτίων θυγατέρα. προβαινούσης δὲ τῆς ἡλικίας αὐτῷ
καὶ τοῦ λογισμοῦ διὰ τὸν χρόνον ἀσθενοῦντος ἔτι μᾶλλον τοῦ μὲν ἰδίου θεοῦ κατωλιγώρησε,
195 τοὺς δὲ τῶν γάμων τῶν ἐπεισάκτων τιμῶν διετέλει. καὶ πρὸ τούτων δὲ ἁμαρτεῖν αὐτὸν
ἔτυχε περὶ τὴν φυλακὴν τῶν νομίμων, ὅτε τῶν χαλκῶν βοῶν ὁμοιώματα κατεσκεύασε τῶν
ὑπὸ θαλάττῃ τῷ ἀναστήματι καὶ τῶν λεόντων τῶν περὶ τὸν θρόνον τὸν ἴδιον· οὐδὲ γὰρ
196 ταῦτα ποιεῖν ὅσιον. κάλλιστον δ' ἔχων παράδειγμα τῆς ἀρετῆς τὸν πατέρα οὐ μιμησάμενος
αὐτὸν καὶ ταῦτα δὶς αὐτοῦ τοῦ θεοῦ κατὰ τοὺς ὕπνους φανέντος καὶ μιμεῖσθαι τὸν πατέρα
197 παραινέσαντος, ἀκλεῶς ἀπέθανεν. ἧκεν οὖν ὁ προφήτης ὑπὸ τοῦ θεοῦ πεμφθείς, οὔτε
λανθάνειν αὐτὸν ἐπὶ τοῖς παρανομήμασι λέγων οὔτ' ἐπιπολὺ χαιρήσειν τοῖς πραττομένοις
ἀπειλῶν, ἀλλὰ ζῶντος μὲν οὐκ ἀφαιρεθήσεσθαι τὴν βασιλείαν διὰ τὰς πρὸς τὸν πατέρα
198 Δαυίδην ὑποσχέσεις, τελευτήσαντος δὲ τὸν υἱὸν αὐτοῦ ταῦτα διαθήσειν οὐχ ἅπαντα μὲν
τὸν λαὸν ἀποστήσας αὐτοῦ, δέκα δὲ φυλὰς παραδοὺς αὐτοῦ τῷ δούλῳ, δύο δὲ καταλιπὼν
199 τῷ υἱωνῷ τοῦ Δαυίδου δι' ἐκεῖνον. ταῦτα ἀκούσας Σολομῶν ἤλγησεν, οὐ πολὺς δὲ διῆλθε

7 ἀποβαλσάμου Busb. — 10 εἰρημένα Busb. — 10 οἰκίαν man. 1 Busb. — 13 γῆν] χώραν Iosephus. — 20 ἀκρασίαν ante σ una litt. eras Busb. — 25 καὶ om. Busb. — 28 ἐπεισάκτων, ει ex ι corr. m. 2 Busb.



Zonaras I p. 149 Bonn.

χρόνος καὶ πολέμιον εὐθὺς ἐπ' αὐτὸν ἤγειρεν ὁ θεὸς Ἄδερ ὄνομα, ὃς Ἰδουμαῖος ἦν ἐκ
βασιλικῶν σπερμάτων. καταστρεψαμένου δὲ τὴν Ἰδουμαίαν Ἰωάβου τοῦ Δαυίδου στρατηγοῦ 200
ἧκε πρὸς Φαραῶνα τὸν Αἰγύπτιον βασιλέα. ὁ δὲ φιλοφρόνως αὐτὸν ὑποδεξάμενος λίαν 201
ἠγάπα, ὡς καὶ γενόμενον ἐν ἡλικίᾳ καὶ τῆς αὐτοῦ γυναικὸς δοῦναι αὐτῷ πρὸς γάμον τὴν
ἀδελφήν. ἀκούσας οὖν ὁ Ἄδερος τὸν Δαυίδου θάνατον καὶ τὸν Ἰωάβου ἐδεῖτο τοῦ Φαραῶνος 202
ἐπιτρέπειν αὐτῷ βαδίζειν εἰς τὴν πατρίδα. ὁ δὲ καίτοι πολλάκις ἐνοχλοῦντα οὐ παρεχώρει.
καθ' ὃν δὲ καιρὸν Σολομῶν τὰ πράγματα κακῶς ἔχειν ἤρχετο συγχωρηθεὶς ὁ Ἄδερος ἧκεν εἰς 203
τὴν Ἰδουμαίαν· καὶ μὴ δυνηθεὶς αὐτὴν ἀποστῆσαι κατεχομένην φρουραῖς πολλαῖς, ἄρας ἐκεῖθεν
εἰς τὴν Συρίαν ἀφίκετο. συμβαλών δ' ἐκεῖ τινι Ῥαάζῳ τοὔνομα τὸν τῆς Σοφηνῆς ἀποδε- 204
δρακότι βασιλέα Ἀδράζαρον καὶ λῃστεύοντι τὴν χώραν εἰς φιλίαν αὐτῷ συνάψας ἔχοντι
περὶ αὐτὸν στίφος λῃστρικὸν ἀναβαίνει ἐπὶ τὴν Συρίαν καὶ κατασχὼν βασιλεὺς αὐτῆς
ἀναδείκνυται καὶ κατατρέχων τὴν τῶν Ἰσραηλιτῶν γῆν ἐποίει κακῶς καὶ διήρπαζε Σολομῶνος
ἔτι ζῶντος. ἐπιτίθεται δὲ Σολομῶνι καὶ τῶν ὁμοφύλων τίς Ἱεροβόαμος υἱὸς Ναβαταίου 205
κατὰ προφητείαν τοῖς πράγμασιν ἐλπίσας· παῖδα γὰρ αὐτὸν ὄντα ὡς εἶδε γενναῖον τὸ
φρόνημα Σολομῶν τῆς τῶν τοιχῶν οἰκοδομῆς κατέστησεν ἐπιμελητήν, ὅτε τοῖς Ἱεροσολύμοις
τὸν κύκλον περιέβαλλε, καὶ στρατηγίαν αὐτῷ ἔδωκεν. ἀπερχομένῳ δὲ τῷ Ἱεροβοάμῳ ἐκ 206
τῶν Ἱεροσολύμων συνήντησε προφήτης Ἀχίας ὄνομα, καὶ ἀπαγαγὼν αὐτὸν ἐκ τῆς ὁδοῦ
σχίσας εἰς δώδεκα φάρση τὸ ἱμάτιον, ὃ αὐτὸς περιεβέβλητο, ἐκέλευσεν αὐτὸν λαβεῖν τὰ 207
δέκα, εἰπὼν ὅτι ὁ θεὸς σχίσας τὴν Σολομῶνος ἀρχὴν τῷ παιδὶ μὲν τῷ τούτου διὰ τὴν
πρὸς Δαυίδην γενομένην ὁμολογίαν μίαν φυλὴν καὶ τὴν ἐξ ἧς αὐτῷ ἦν δίδωσι, σοὶ δὲ τὰς
δέκα Σολομῶνος εἰς αὐτὸν ἐξαμαρτόντος. εἰδὼς οὖν τὴν αἰτίαν δι' ἣν μετατίθησι τὴν 208
αὐτοῦ γνώμην ἀπὸ Σολομῶνος ὁ θεὸς δίκαιος ἔσο καὶ φύλαττε τὰ νόμιμα. ἐπαρθεὶς οὖν 209
τοῖς τοῦ προφήτου λόγοις Ἱεροβόαμος φύσει θερμὸς ὢν νεανίας οὐκ ἠρέμει. γενόμενος δ'
ἐν τῇ στρατηγίᾳ ἀναπείθειν ἐπειρᾶτο τὸν λαὸν ἀφίστασθαι Σολομῶνος. μαθὼν δὲ τοῦτο 210
Σολομῶν ἐζήτει συλλαβὼν αὐτὸν ἀνελεῖν. γνοὺς δὲ Ἱεροβόαμος πρὸς Σούσακον φεύγει τῶν
Αἰγυπτίων βασιλέα, καὶ μέχρι τῆς Σολομῶνος τελευτῆς ἐκεῖ ἔμεινεν. ἀποθνήσκει δὲ Σολομῶν 211
ἤδη γηραιὸς ὤν, βασιλεύσας μὲν ὀγδοήκοντα ἔτεσι, ζήσας δὲ ἐννενήκοντα καὶ τέσσαρα,
ἅπαντας ὑπερβαλὼν εὐδαιμονίᾳ καὶ πλούτῳ καὶ φρονήσει τοὺς βασιλεύσαντας, εἰ μὴ ὅσα
γε πρὸς τὸ γῆρας ὑπὸ τῶν γυναικῶν ἀπατηθεὶς παρηνόμησε.

Διαδεξαμένου δὲ τὴν βασιλείαν τοῦ υἱοῦ αὐτοῦ Ῥοβοάμου, ὃς ἦν ἐκ γυναικὸς Ἀμμανίτιδος 212
Νοομᾶς ὄνομα, πέμψαντες εἰς Αἴγυπτον οἱ τῶν ὄχλων ἄρχοντες ἐκάλουν τὸν Ἱεροβόαμον.
ἀφικομένου δὲ εἰς Σίκιμα πόλιν καὶ Ῥοβόαμος εἰς αὐτὴν παραγίνεται· δέδοκτο γὰρ ἐκεῖ
συνελθοῦσι τοῖς Ἰσραηλίταις ἀποδεῖξαι αὐτὸν βασιλέα. προσελθόντες οὖν οἵ τε ἄρχοντες 213
αὐτῷ τοῦ λαοῦ καὶ Ἱεροβόαμος παρεκάλουν ἀνεῖναί τι τῆς δουλείας αὐτοῖς καὶ γενέσθαι
χρηστότερον τοῦ πατρός· βαρὺν γὰρ ὑπ' ἐκείνου ζυγὸν αὐτοῖς ὑπενεγκεῖν. ὁ δὲ μετὰ τρεῖς 214
ἡμέρας εἰπὼν αὐτοῖς ἀποκρίνασθαι περὶ ὧν ἀξιοῦσι, συγκαλέσας τοὺς πατρῴους φίλους 215
ἐσκόπει μετ' αὐτῶν, ὁποίαν δεῖ τὴν ἀπόκρισιν ποιήσασθαι πρὸς τὸ πλῆθος. οἱ δὲ παρῄνουν
φιλοφρόνως ὁμιλῆσαι τῷ λαῷ καὶ δημοτικώτερον ἢ κατὰ βασιλείας ὄγκον. ὁ δὲ ἀγαθὴν 216

1 ἄδερον Henn. — 3 αἰγυπτίων Henn. — 7 σολομῶνι Iosephus. — 15 τειχῶν Henn. cum Iosepho. — 16 τὸν] τῶν Busb. — 17 συνήντησε] συνεβόλησε Iosephus. — 20 ἐξῆς Henn. — αὐτῷ ἦν] αὐτῇ Iosephus. — 24 ἐπειρᾶτο] ἐπεχείρει Iosephus. — 31 πέμψαντες, ες in ras. m. 1 Busb. — 37 ὁποίαν] ποδαπὴν Iosephus.

Zonaras I p. 151 Bonn.

οὕτως γνώμην ἀπεστράφη, καλέσας δὲ τὰ μειράκια τὰ συντεθραμμένα αὐτῷ καὶ τὴν τῶν
217 πρεσβυτέρων αὐτοῖς συμβουλίαν εἰπών, τί δοκεῖ ποιεῖν ἠρώτα. τὰ δέ, οὔτε γὰρ ἡ νεότης
οὔτε ὁ θεὸς ἠφίει νοεῖν τὰ κρείττω, παρῄνεσε ἀποκρίνεσθαι τῷ λαῷ τὸν βραχύτερον αὐτοῦ
δάκτυλον τῆς τοῦ πατρὸς ὀσφύος εἶναι παχύτερον, καὶ εἰ σκληροῦ ἐπειράθησαν ἐκείνου,
πολὺ μᾶλλον αὐτοῦ πεῖραν λήψεσθαι δυσκόλου· καὶ εἰ μάστιξιν αὐτοὺς ἐκεῖνος ἐνουθέτει,
218 σκορπίοις τοῦτο ποιήσειν αὐτὸν προσδοκᾶν. ταύτην δόξας προσήκειν τῷ τῆς ἀρχῆς ἀξιώ-
ματι τὴν ἀπόκρισιν ὁ βασιλεύς, ὡς συνῆλθεν τῇ τρίτῃ τῶν ἡμερῶν τὸ πλῆθος, μετεώρου τοῦ
219 λαοῦ παντὸς ὄντος τὴν τῶν μειρακίων συμβουλίαν ἀπεκρίνατο. πληγέντες δ' ὑπὸ τῶν λόγων
μέγα πάντες ἐβόησαν οὐκέτ' αὐτοῖς οὐδὲν εἶναι συγγενὲς πρὸς Δαυίδην καὶ τοὺς ἀπ' αὐτοῦ·
παραχωρεῖν δ' αὐτῷ μόνον τὸν ναὸν ὃν ὁ πατὴρ αὐτοῦ κατεσκεύασεν εἰπόντες, καταλείψειν
220 ἠπείλησαν. οὕτως δ' ἔσχον πικρῶς, ὡς πέμψαντος αὐτοῦ τὸν ἐπὶ τῶν φόρων Ἀδώραμον,
221 ἵνα καταπραΰνῃ, βαλόντες αὐτὸν λίθοις ἀπέκτειναν. τοῦτο ἰδὼν Ῥοβόαμος καὶ δείσας
ἔφυγεν εἰς Ἱεροσόλυμα. καὶ ἡ μὲν Ἰούδα φυλὴ καὶ ἡ Βενιαμίτις χειροτονοῦσιν αὐτὸν
222 βασιλέα, τὸ δὲ ἄλλο πλῆθος τὸν Ἱεροβόαμον ἀπέδειξε τῶν πραγμάτων κύριον. Ῥοβόαμος
δὲ βουληθεὶς ἐκ τῶν δύο φυλῶν ὀκτωκαίδεκα μυριάδας ἐπιλέκτους λαβὼν πολεμῆσαι τὸν
223 Ἱεροβόαμον καὶ τὸν λαόν ἐκωλύθη παρὰ τοῦ θεοῦ διὰ τοῦ προφήτου.

225 Ὁ δ' Ἱεροβόαμος οἰκοδομήσας βασίλειον ἐν Σικίμῃ πόλει ἐν ταύτῃ τὴν δίαιταν εἶχε. τῆς
δὲ σκηνοπηγίας ἑορτῆς ἤδη ἐνισταμένης λογισάμενος, ὡς εἰ ἐπιστρέψει τὸ πλῆθος εἰς
Ἱεροσόλυμα πορευθῆναι, μετανοῆσαν ἴσως καὶ δελεασθὲν ὑπὸ τοῦ ναοῦ καὶ τῆς θρησκείας
τῆς ἐν αὐτῷ τοῦ θεοῦ καταλείψει μὲν αὐτόν, προσχωρήσει δὲ τῷ πρώτῳ βασιλεῖ, καὶ
226 κινδυνεύσει αὐτός, δύο ποιήσας δαμάλεις χρυσᾶς καὶ οἰκοδομήσας ναΐσκους ἕνα μὲν ἐν
Βεθήλῃ πόλει, ἕτερον δὲ ἐν Δάνῃ, ἥ ἐστι πρὸς ταῖς πηγαῖς τοῦ μικροῦ Ἰορδάνου, τίθησι
τὰς δαμάλεις ἐν ἑκατέρῳ τῶν ναΐσκων, καὶ συγκαλέσας τὰς δέκα φυλὰς ἐδημηγόρησεν
227 εἰπών· „ἄνδρες ὁμόφυλοι, γινώσκετε, ὅτι πᾶς τόπος ἔχει τὸν θεόν, πανταχοῦ τε ἀκούει
καὶ τοὺς θρησκεύοντας ἐφορᾷ. ὅθεν οὔ μοι δοκεῖ νῦν ἐπείγειν ὑμᾶς εἰς Ἱεροσόλυμα πορευ-
228 θέντας προσκυνεῖν. ἄνθρωπος κατεσκεύασε τὸν ναόν, πεποίηκα δὲ κἀγὼ δύο χρυσᾶς δαμάλεις
ἐπωνύμους τῷ θεῷ, ὅπως προσκυνῆτε εἰς αὐτὰς ἀπερχόμενοι τὸν θεόν. ἀποδείξω δὲ καὶ
ἱερεῖς ἐξ ὑμῶν αὐτῶν καὶ Λευίτας, ἵνα μὴ χρείαν ἔχητε τῆς Λευίτιδος φυλῆς καὶ τῶν
229 Ἀαρῶνος υἱῶν". ταῦτ' εἰπὼν ἐξηπάτησε τὸν λαὸν καὶ τῆς πατρίου θρησκείας ἀποστάντας
ἐποίησε παραβῆναι τοὺς νόμους. ἀρχὴ κακῶν ἐγένετο τοῦτο τοῖς Ἑβραίοις καὶ τοῦ πολέμῳ
230 κρατηθέντας ὑπὸ τῶν ἀλλοφύλων αἰχμαλωσίᾳ περιπεσεῖν. ἐνστάσης δὲ τῆς ἑορτῆς βουλό-
μενος καὶ αὐτὸς ἐν Βεθήλῃ ταύτην ἀγαγεῖν, ὡς καὶ αἱ δύο φυλαὶ ἐν Ἱεροσολύμοις, οἰκο-
δομεῖ μὲν θυσιαστήριον πρὸ τῆς δαμάλεως, γενόμενος δ' αὐτὸς ἀρχιερεὺς ἐπὶ τὸν βωμὸν
231 ἀναβαίνει σὺν τοῖς ἰδίοις ἱερεῦσι. μέλλοντος δὲ θυσιάζειν ἐν ὄψει παντὸς τοῦ λαοῦ παρα-
γίνεται προφήτης ἐξ Ἱεροσολύμων Ἰάδων ὄνομα πεμφθεὶς ὑπὸ τοῦ θεοῦ, ὃς στὰς ἐν μέσῳ
232 τῷ πλήθει εἶπε πρὸς τὸ θυσιαστήριον τοὺς λόγους ποιούμενος· „ὁ θεὸς ἐσέσθαι τινὰ
προλέγει ἐκ τοῦ Δαυίδου γένους Ἰωσίαν ὄνομα, ὃς ἐπὶ σοῦ θύσει τοὺς ψευδεῖς ἱερεῖς τοὺς

---

1 συντεθραμμένα, ante θ ras. 2 litt. Busb. — 3 ἀποκρίνασθαι, post ι ras. 1—2 litt. Busb. — 6 τοῦτον Busb. — 9 συγγενές, ante ς ras. 1 litt. Busb. — 10 παραχωρεῖ Busb. — 10 μόνω Busb. — 12 τοῦτον Busb. — 18 ἐπιτρέψει Iosephus. — 19 τοῦ] τοῦ τοῦ Busb. — 36 ποιούμενος] ποιησάμενος Henn.



Hactenus antiqua historia. Voto autem finiendum volumen sit. Superest enim ut dies festissimus publice indicatur. **Imperatoris ac Regis Augustissimi** festum natalem civibus universis laetissimum mox celebrabit haec Academia Deumque optimum maximum, auctorem ac statorem Germanici nominis, sed qui annum etiam proximum lugubrem esse voluit Augustae Augustissimae atque Sanctissimae Imperatricis funeribus insperatis, publica voce precabitur, ut custodiat servet protegat hunc imperii statum, hanc pacem, huius amatissimi denique Principis iuventutem eumque semper validum sapientem felicem longissima statione uti sinat mortalibus destinata civiumque omnium consilia pia foveat, opprimat impia. Quorum votorum sollemnium interpres in oeco publico exsistet vir illustrissimus

## HERMANNUS PAASCHE

PHILOS. DOCTOR, SCIENT. POLIT. P. P. O.

doctam ex more disputationem votis adnexurus. Eadem sollemnia professores ornatissimi, iuvenes artium doctarum studiosi carissimi, viri denique in quocumque honoris gradu collocati, quotquot huic favent Academiae, ut frequentes ac laeti concelebrent oratoremque benigne excipiant, Rectore magnifico invitante ea qua par est observantia oramus.